ΠΡΟΠΥΛΑΙΑ

GRIECHISCHES UNTERRICHTSWERK

Lese- und Übungsbuch

ERNST KLETT STUTTGART

ΠΡΟΠΥΛΑΙΑ

ХРЕСТОМАТИЯ ПО ДРЕВНЕГРЕЧЕСКОМУ ЯЗЫКУ

Перевод с немецкого В.П. Казанскене, доцента Санкт-Петербургского университета

САНКТ-ПЕТЕРБУРГСКАЯ КЛАССИЧЕСКАЯ ГИМНАЗИЯ

Издание подготовлено при поддержке Санкт-Петербургского фонда культуры и Bosch Stiftung (ФРГ)

ISBN 5-88560-092-9

Printed in Russia

СОДЕРЖАНИЕ УРОКОВ

Урок	Морфология	Синтаксис	Тексты
1	о-склонение (II) m.: φίλος ind., imp., inf. praes.act.;	Атрибутивная позиция; отрицание при imp. δεῖ с inf.	Крестьянин
2	— : ἀγρός	Acc. cum inf.; acc. duplex, dat. causae	
3	— : δοῦλος, ἄγγελος; энклитики	Именная часть сказуемого	
4	— n.: ἔργον; ind.praes.pass.	Прямой вопрос; сказуемое при n.pl.; ὥστε с ind.; dat. instrumenti	Садоводство и земледелие
5	— f.: νῆσος; ind., imp., inf. praes.med. Verba deponentia	φείδομαι, μεστός с gen.	Хлебопашество в Египте
6	α-склонение (I) f.: νίκη; m.: ναύτης; прил. на -ος, -η, -ον	Позиция αὐτός; dat. temporis	Праздник победы в Афинах
7	Impf. act./med. со слог. приращением	ὑπό; dat. *modi*	В афинском театре Диониса
8	— f.: χώρα; — *m.*: νεανίας; наречие; τίς sing.	Употребление артикля	Троя
9	— f.: δόξα; прил. 2-х окончаний; part.praes.med.-pass.	Позиция прил.; dat. sociativus; part. coni., gen. abs.	Александрия
10	τίς plur.; временнóе приращение	Gen. при глаголах властвования	Одиссей и Пенелопа
11	Основы на гласный; fut.: ind., inf. act./med.; part. med.; ἔσται; личные и возвратные местоимения	Время и наклонение в косвенной речи	Одиссей у Тиресия
12	Аорист I (слабый): ind., inf., imp. act./med.; part.aor.med.	κατά; impf. и aor.	Рассказ о Демаде
13	Аорист II (сильный): ind., inf., imp. act.		Дедал и Икар
14	Аорист II (сильный): med., part.; σχεῖν и composita		Возвращение Одиссея; Пирр и Фабриций

Урок	Морфология	Синтаксис	Тексты
15	**III склонение:** основы на ν-, ρ-	Nom. cum inf.; irrealis в настоящем; ὥστε при verbum finitum и при inf.	
16	— : заднеязычные и губные основы; аорист I заднеяз. и губных основ	Irrealis в прошлом; παρά; part. coniunctum и gen. absolutus	Эдип
17	— : зубные основы; футурум и аорист зубных основ	ἐπί; acc. внутреннего объекта; acc. relationis	Из истории Афин
18	— : основы на -ντ- part.praes.; fut.; aor.act.	πᾶς: употребление	Обокраденный прорицатель
19	— : n. зубных основ; степени сравнения на -τερος и -τατος	Gen. comparationis; ἅτε и ὡς с причастием	
20	ι-основы; ἀνήρ и др.; отн. местоим.; οὗτος		Кир и Крез
21	— : основы на дифтонг; сущ. и прил. на -υς	Gen. при ἐσθίω и др.; acc. при λανθάνω; inf. в качестве высказывания и желания	Сражение при Саламине
22	— : основы на дифтонг ind.; part.; inf.; imp.; aor. и fut. pass. основ на гласный	Inf.fut. при ὑπισχνέομαι и др.	Тесей; Гистией
23	— : основы на -σ-	Gen. при ἅπτεσθαι и др.	Ниоба; Демосфен
24	— : особенности; возвр. местоимение	λανθάνω и др. с part.; двойное отрицание	Персей и Андромеда
25	Степени сравнения на -ίων, -ιστος, -έστερος, -έστατος	Именная часть сказуемого в acc. без определяемого слова	
26	Coni.praes.act. и med.pass.; coni. aor. II act./med.	Coni. adhort. и dubit.; прид. предл. цели; coni. после глаголов боязни	Исторические рассказы
27	Указ. местоимения; coni. aor. I act./med.	Условные предложения: футуральная форма	Ифигения в Авлиде
28	Слитное склонение о- и α-основ; степени сравнения: заключение	Inf. после δεινός и др. Dat. soc. при прил. и наречиях	Исторические рассказы

Урок	Морфология	Синтаксис	Тексты
29	Opt. praes. act./med.; opt. aor. (II) act./med.	Оптатив; opt. potentialis	Исторические рассказы
30	Opt. aor. (I) act./med.	Opt. obliquus и iterativus	Эсхил: Персы Исторические рассказы
31	Verba contracta: -άω	καὶ οὐ — οὐδέ Verba intransitiva: passivum	Олимпийские игры
32	— : -έω	Acc. при ἀδικέω и др.	Платон: Суд над умершими
33	— : -όω; повторение всех verba contracta	Attractio casus в отн. предложениях	Одиссей и Полифем
34	εἰμί; наклонения aor. и fut. pass.	ἐπιμέλομαι и др. с ὅπως и fut.; prolepsis	Отчет Неарха о морском путешествии
35	Pron. и pron.adv. correlativa; dualis	Inf. при ὅσος и др.	
36	Numeralia cardinalia	Генетив пространства и времени	
37	Numeralia ordinalia		Вавилон
38	Verba vocalia: perf. и plpf. act. и med.-pass.		
39	Verba muta: perf. и plpf. act. и pass.	Предик. причастие	
40	— : aor. pass.	Предик. причастие	Поликрат
41	Aor. II pass.		Прометей
42	Verba liquida: fut. и aor. act./med.	Gen. separat.; acc. при αἰσχύνομαι и др.	Клятва эфеба Муций Сцевола
43	— : остальные времена		Филоктет
44	Глаголы на -ίζω: fut. и aor. act./med.; особенности удвоения; отглаг. прилагательные	Употребление отглаг. прилагательных	
45	δίδωμι	Imperfectum de conatu; вопросительные предложения	Исторические рассказы
46	τίθημι, κάθημαι		Зевс Фидия
47	ἵημι, δέδοικα		
48	οἶδα	οἶδα и др. с part.; неисполнимое желание	Лев и мышь
49	ἵστημι, τέθνηκα	Прид. предл. времени	
50	ἵσταμαι intrans.		Семеро против Фив; Волк и овца; Алкивиад

Урок	Морфология	Синтаксис	Тексты
51	Verba vocalia: особенности; корневой аорист		
52	Глаголы после ἵστημι, εἶμι, φημί	Acc. abs.; inf. и part. при ἐπίσταμαι и др.	Исторические рассказы
53	Глаголы на -νυμι		Письмо 225 г. до н.э.
54	Глаголы с основой на согласный: особенности		Гиппократ о дыхании Исторические рассказы
55	Глаголы с презентной основой на назальный	Причастие при φθάνω; attractio casus в относит. предложениях	Досократики; Письмо Эпикура
56	Глаголы с презентной σκ-основой	ἀναμιμνήσκω и μιμνήσκομαι	Лев и заяц
57	Глаголы с расширением основ на -ε-	Т.н. inf. absolutus причастие при глаголах аффекта	Исторические рассказы
58	Супплетивные глаголы		Исторические рассказы; Письмо Митридата Понтийского
59		Генетив	
60		Датив	Аргинусский процесс
61		Аккузатив	Хороший правитель
62		Инфинитив	Кир Старший о коннице
63		Причастие	Юный Александр
64		Зависимые высказывания	Посольство аканфян
65		Прид. предл., выражающие желание, вопрос, цель	
66		Прид. предложения следствия и причины	
67		Условные прид. предл.	
68		Временные прид. предл.	Фукидид
69		Относит. прид. предл.	Греческие боги
70		μή	
71		ἄν	
72		ὡς	Фермопилы
73		καί	Аристофан: Птицы
74		Времена	Ксенофонт в Скиллунте

Алфавит и упражнения в чтении

Α	Β	Γ	Δ	Ε	Ζ	Η	Θ	Ι	Κ	Λ	Μ
α	β	γ	δ	ε	ζ	η	θ	ι	κ	λ	μ
Ν	Ξ	Ο	Π	Ρ	Σ	Τ	Υ	Φ	Χ	Ψ	Ω
ν	ξ	ο	π	ρ	σς	τ	υ	φ	χ	ψ	ω

1. **ΝΕΜΕΑ ΖΑΜΑ ΒΥΖΑΝΤΙΟΝ ΜΑΙΑ**

2.

ΑΣΙΑ	ΜΑΚΕΔΟΝΙΑ	ΓΕΡΜΑΝΙΑ	ΑΡΚΑΔΙΑ
ASIA	MACEDONIA	GERMANIA	ARCADIA
Ἀσίᾱ	Μακεδονίᾱ	Γερμανίᾱ	Ἀρκαδίᾱ

ΑΡΓΟΣ	ΑΤΤΙΚΗ	ΚΡΗΤΗ	ΣΑΛΑΜΙΣ	ΗΠΕΙΡΟΣ
ARGUS	ATTICA	CRETA	SALAMIS	EPIRUS
Ἄργος	Ἀττική	Κρήτη	Σαλαμῑ́ς	Ἤπειρος
ΚΟΡΙΝΘΟΣ	ΦΩΚΙΣ	ΘΕΣΣΑΛΙΑ	ΘΗΒΑΙ	ΑΘΗΝΑΙ
CORINTHUS	PHOCIS	THESSALIA	THEBAE	ATHENAE
Κόρινθος	Φωκίς	Θεσσαλίᾱ	Θῆβαι	Ἀθῆναι
ΣΠΑΡΤΗ	ΕΥΒΟΙΑ	ΙΩΝΙΑ	ΧΙΟΣ	ΛΑΜΨΑΚΟΣ
SPARTA	EUBOEA	IONIA	CHIOS	LAMPSACUS
Σπάρτη	Εὔβοια	Ἰωνίᾱ	Χίος	Λάμψακος

3.

ΜΑΡΑΘΩΝ	ΔΩΡΙΣ	ΝΑΞΟΣ	ΕΦΕΣΟΣ	ΕΛΛΑΣ
Μαραθών	Δωρίς	Νάξος	Ἔφεσος	Ἑλλάς

Α Β Γ Δ Ε Ζ Η Θ Ι Κ Λ Μ Ν Ξ Ο Π Ρ Σ Τ Υ Φ Χ Ψ Ω
α β γ δ ε ζ η θ ι κ λ μ ν ξ ο π ρ σ ς τ υ φ χ ψ ω

4. Βαβυλών Ζεύς Δελφοί Πειραιεύς — θεός φυγάς χρή πούς καί ψυχή νεῴ Ξενοφῶν Περικλῆς Σοφοκλῆς Ποσειδῶν — νεῶν φυγῆς θεῷ

5. Λιβύη Πλάτων Ξέρξης Κίμων Σωκράτης Θουκυδίδης Σάμος Κύπρος Τροίᾱ Λέσβος Σμύρνα — ψόφος κύκλος χώρα νῑ́κη μέσος γνώμη τρίχα Νεῖλος Κροῖσος Κῦρος Δῆλος Λῆμνος Μῆλος — γῦπα δῦσιν παῖδες νύκτα δίσις παίδων νῖκαι κρῑ́νω πρᾶττε πράττων

6. Πίνδαρος Μέγαρα Κόρινθος Τρίπολις Πελοπόννησος Κύθηρα Πόλυδωρος — μάνθανε γέφυρα πάπυρος

7. Ἀριστοτέλης Ἐρέτρια Ἰταλίᾱ Ὀρέστης Ὠκεανός
Ἁρμονία Ἑλλάς Ἱπποκράτης Ὑάκινθος
Ἄνδρος Αὐλίς Αἶμος Ἔφεσος Εὔβοια Εὐφράτης Ἦλις Ὅμηρος Ὕδρᾱ Ὧραι

8. αὐλή αἷμα αἶξ ἐλέφας ἔπος εἴδωλον εὔνους οἶνους ἤ ἤπειρος ἧπαρ ἰδιώτης ὄνος οὐρανός οὗτος ὕπνος ὕδωρ ὗεν υἱός

9. ᾄδης Ἅιδης, ᾖδον Ἤιδον, ᾑρέθη Ἡιρέθη, ᾔκαζον Ἤικαζον, ᾠδή Ὠιδή

10. Ῥόδος Ῥῆνος Ῥώμη ῥεῦμα

11. κτῶμαι χθών φθάνω Σθενέβοια — ἴον ἰατρός ἴαμβος Ἰωνία — Ναϊάδες, ἀΐδιος Ἀΐδιος, ἄυπνος Ἄυπνος — ἄγχω ἄγγελος ἐγγύς ἐγκώμιον φάλαγξ πλαγχθείς — Αἰσχύλος σχολή — μυῖα κεκολακευκυιῶν ἐστρατοπεδευσάμεθα

12. ὁ δίσκος, ἡ φιλοσοφία, τὸ γυμνάσιον

13. ΙΗΣ(οῦς) *cp.* IHS

14. Α ☧ Ω



1

I	1. Δίσχον φέρω.	Δίσχους φέρω.
	2. Ἐλαύνω ἵππον.	Ἐλαύνω ἵππους.
	3. Ἐλαύνομεν τὸν ἵππον.	Παιδεύομεν τοὺς φίλους.
	4. Θαυμάζεις τὸν τοῦ φίλου ἵππον (= τὸν ἵππον τὸν τοῦ φίλου).	Θαυμάζετε τοὺς τῶν ξένων ἵππους (= τοὺς ἵππους τοὺς τῶν ξένων).
	5. Ὁ φίλος τῷ φίλῳ ἵππον τρέφει.	Οἱ φίλοι τοῖς φίλοις πόνους οὐ παρέχουσιν.
II	6. Οὐ μόνον ὁ κόσμος, ἀλλὰ καὶ ὁ χρόνος ὅρους οὐκ ἔχει.	Πρὸς τοὺς τοῦ κόσμου ὅρους οὐχ ἥκομεν.
	7. Δεῖ τοὺς τοῦ βίου πόνους φέρειν.	
III	8. Ὦ Πέτρε, πίστευε τῷ νέῳ φίλῳ.	Ὦ φίλοι, μὴ πιστεύετε τοῖς τῶν ξένων τρόποις.

9. Πίστευε τῷ Πέτρου λόγῳ· ὁ γὰρ φίλος τοῖς τῶν φίλων λόγοις ἀεὶ πιστεύει.
10. Ὦ φίλε Πέτρε, μὴ πίστευε τοῖς τοῦ ξένου τρόποις.

2

1. Ὁ μὲν γεωργὸς ἐν τῷ ἀγρῷ φυτεύει, ὁ δὲ τοῦ γεωργοῦ υἱὸς ἵππον εἰς τὸν ἀγρὸν ἐλαύνει. 2. Ὀλίγοι γεωργοὶ ἀγαθοῖς τοῦ ἀγροῦ καρποῖς οὐ χαίρουσιν. 3. Οἱ γεωργοὶ βίον κακὸν φεύγουσιν. 4. Τοὺς γὰρ κακοὺς οἱ θεοὶ κολάζουσιν. 5. Τῷ ἀγαθῷ γεωργῷ τοὺς θεοὺς θεραπεύειν προσήκει. 6. Καρποὺς οὖν ἐκ τῶν ἀγρῶν φέρει καὶ τοῖς θεοῖς θύει. 7. Οἱ δὲ θεοὶ τοῖς καρποῖς χαίρουσιν. 8. Τοῖς δὲ τῶν πονηρῶν γεωργῶν καρποῖς οὐ χαίρουσιν. 9. Χαῖρε, ὦ διδάσκαλε. 10. Φίλους θησαυροὺς νομίζομεν. 11. Γεωργοὶ τὸν ἵππον φίλον νομίζουσιν. 12. Τὸν ἀγαθὸν γεωργὸν τοὺς θεοὺς θεραπεύειν προσήκει. 13. Θεράπευε μὲν θεούς, θεράπευε δὲ καὶ τοὺς φίλους.

14. Νόμιζ' ἀδελφοὺς τοὺς ἀληθινοὺς φίλους.



3

A Φοῖβος ἀδελφὸς τοῦ Διονύσου ἐστίν.
Φοῖβος ἀδελφός ἐστι τοῦ Διονύσου.
Διόνυσός ἐστιν ἀδελφὸς τοῦ Φοίβου.
Φοῖβός ἐστιν ἀδελφὸς τοῦ Διονύσου.

Οἱ Ἀθηναῖοι φίλοι εἰσὶ τῶν Θηβαίων.
Ἔνδοξοί εἰσιν οἱ Ἀθηναῖοι.
Οἱ Ἀθηναῖοί εἰσι δίκαιοι.

B 1. Ὁ τῶν Ἀθηναίων δῆμος πολλοὺς δούλους ἔχει. 2. Ὁ μὲν λαμπρὸς ἥλιος ἀγαθὸν οἶνον, ὁ δ' οἶνος πλοῦτον τοῖς Ἀθηναίοις παρέχει. 3. Ἐν πολέμῳ οἱ τῶν Ἀθηναίων δοῦλοι τοῖς κυρίοις τοὺς ἵππους θεραπεύουσιν. 4. Ὦ δοῦλε, ἄγε τὸν ἵππον πρὸς τὸν τοῦ Ἡλίου βωμόν. 5. Θεράπευε τὸν Ἥλιον. 6. Μὴ κολάζετε, ὦ ἄνθρωποι, τοὺς δούλους. 7. Εὖ γὰρ ἐν κινδύνοις σὺν τοῖς θεοῖς τῷ στρατῷ ἀμύνουσιν. 8. Ὁ δῆμος Φοίβῳ καλὸν ναὸν ἱδρύει. 9. Ἔνδοξός ἐστιν ὁ ἐν Δελφοῖς ναὸς ὁ τοῦ Φοίβου. 10. Οἱ Ἀθηναῖοι πολλάκις ἀγγέλους εἰς Δελφοὺς πέμπουσιν.— 11. Οἶνον οὐκ ἔχουσιν. ***(Ιοαн. 2,3)***

4

A

1. Ὁ κύριος τὸν δοῦλον κολάζει.
2. Οἱ θεοὶ τοὺς ἀνθρώπους τρέφουσιν.
3. Τὸ δένδρον φυτεύεται ὑπὸ τοῦ γεωργοῦ.
4. Παιδεύομαι τοῖς τοῦ διδασκάλου λόγοις.
5. Τὸ δένδρον καρποὺς φέρει.
6. Τὰ θηρία φαρμάκοις μὴ διάφθειρε.

Ὦ δοῦλε, κολάζῃ ὑπὸ τοῦ κυρίου.
Τρέφεσθε, ὦ ἄνθρωποι, ὑπὸ τῶν θεῶν.
Οἱ ναοὶ ἱδρύονται ὑπὸ τῶν Ἀθηναίων.
Γιγνωσκόμεθα ἐκ τῶν λόγων.

Τὰ δένδρα καρποὺς φέρει.
Τὰ θηρία φαρμάκοις οὐ διαφθείρεται.

B 1. Πολλὰ καὶ καλὰ δένδρα ἐν τῷ τοῦ στρατηγοῦ ἀγρῷ ἐστιν. 2. Εὖ γὰρ ὑπὸ τοῦ κυρίου θεραπεύεται. 3. Ὥστε καὶ πολλοὺς καρποὺς φέρει. 4. Ἀλλὰ πολλάκις τὰ φυτὰ ὑπὸ τῶν θηρίων διαφθείρεται. 5. Τότε τὰ θηρία τόξῳ ὑπὸ τοῦ κυρίου ἀπὸ τῶν φυτῶν ἀπελαύνεται. 6. Οὐ μόνον καρποῖς τρεφόμεθα, ἀλλὰ καὶ θηρίοις. 7. Ὁ γεωργὸς μετὰ τῶν τέκνων δῶρα τῷ θεῷ ἐκ τῶν ἀγρῶν πρὸς τὸ ἱερὸν φέρει. —



8. ʽΟ κόσμος ἔργον τοῦ θεοῦ ἐστιν. 9. Τοῖς λαμπροῖς ἐν οὐρανῷ ἄστροις χαίρομεν. 10. Καὶ μικρῷ τόξῳ ἄνθρωπος διαφθείρεται. 11. ῏Αρα τρέφεσθε ὑπὸ τῶν φίλων; ῏Αρ' οὐ τρέφῃ, ὦ ἄνθρωπε, ὑπὸ τῶν θεῶν; 12. Μετὰ τὸν πόλεμον ἐν τῷ πεδίῳ μικρὸν τρόπαιον ἱδρύεται ἱερὸν τοῦ θεοῦ.

13. ῎Εργοις φίλους γίγνωσκε, μὴ μόνον λόγοις.
14. Πόλλ' ἐστιν ἀνθρώποισιν [≐ -ποις], ὦ ξένοι, κακά.

5

A

1. Οἱ φίλοι ἐν τῷ ποταμῷ λούονται.	*Amici in flumine lavantur.*
2. ʽΟ στρατηγὸς τὸν στρατὸν ἐν τῷ πεδίῳ ἀθροίζει.	ʽΟ στρατὸς ἐν τῷ πεδίῳ ἀθροίζεται.
3. Οἱ σύμμαχοι τάττονται ὑπὸ τοῦ στρατηγοῦ.	Τάττονται ἐν τῷ πεδίῳ.
4. ʽΥπὸ κακῶν ἀνθρώπων μὴ πείθεσθε.	Μὴ πείθεσθε τοῖς κακοῖς ἀνθρώποις.
5. Παιδεύομαι ὑπὸ τοῦ διδασκάλου.	Παιδεύομαι τὸν υἱόν.

B 1. Βουλόμεθα μάχεσθαι τοῖς πολεμίοις. 2. ʼΕν τοῖς τῆς Αἰγύπτου ἀγροῖς πολλὰ φυτὰ γίγνεται. 3. Οἱ οὖν γεωργοὶ μάλα ἥδονται· ὥστε βούλονται θύειν τοῖς θεοῖς. 4. ʼΕκ δὴ τῶν ἀγρῶν καὶ ἐκ τῆς νήσου τῆς τοῦ Νείλου ποταμοῦ πορεύονται πρὸς τὸν ναὸν καὶ ἐν τῇ ὁδῷ παύονται κακῶν λόγων. 5. Πρὸς δὲ τῷ τοῦ θεοῦ ναῷ λέγουσιν· „Φέρομεν, ὦ κύριε, τὰ δῶρα τὰ ἐκ τῶν ἀγρῶν, ὅτι μεστοὶ ἦσαν καρπῶν. 6. Μὴ ὀργίζου τοίς γεωργοῖς, ἀλλὰ φείδου τῶν τε δένδρων καὶ τῶν φυτῶν." 7. ʽΟ δὲ θεὸς δέχεται τὰ δῶρα. 8. ʼΕν τῇ οἴκαδε ὁδῷ οἱ γεωργοὶ ᾄδουσιν.
9. Τὴν ἄμπελον φυτεύομεν ἐν τῇ νήσῳ. 10. Αἱ ἄμπελοι φυτεύονται ἐν ταῖς νήσοις. 11. Φοῖβος τὰς τῶν ἀνθρώπων νόσους ἀμύνει. 12. ʽΗ νῆσος μεστή ἐστιν ἀμπέλων. 13. ʽΗ Αἴγυπτος δῶρον τοῦ Νείλου ποταμοῦ λέγεται. 14. ʽΗ νόσος τοῦ φίλου οὐ φείδεται. — ῏Αρ' οἴεσθε κίνδυνον τοῦ θανάτου εἶναι;

6

A **ʽΗ ἑορτὴ ἡ τῆς θεοῦ ἄγεται**

1. Τῇ τῆς θεοῦ ἑορτῇ οἱ γεωργοὶ ἐκ τῶν κωμῶν ʼΑθήναζε πορεύονται. 2. Πρῶτον μὲν οἴκους, ἔπειτα δὲ καὶ λιθίνας στήλας καὶ ναοὺς βλέπουσιν. 3. Μεστὸς γάρ ἐστιν ὁ τόπος λιθίνων στηλῶν καὶ ναῶν. 4. Διὰ δὲ τῶν στενῶν ὁδῶν πρὸς τὸν τῆς Νίκης ναὸν ἀναβαίνουσιν. 5. ʽΟ γὰρ ναὸς ἱερὸς τῆς Νίκης ἐστίν, ὅτι ἡ θεὸς πολλάκις τῷ δήμῳ ἐν μάχαις νίκην καλὴν φέρει. 6. Πολλῶν δὲ νικῶν καὶ οἱ ἄλλοι θεοὶ τοῖς ʼΑθηναίοις αἴτιοι εἰσιν. — 7. ʼΕν ἀρχῇ ἦν ὁ λόγος. *(Иоан. 1,1)*

8. Λύπης ἰατρός ἐστιν ἀνθρώποις χρόνος.

B 1. Πρὸ τοῦ ναοῦ ποιητὴς λαμπρὸς ᾠδὴν τῇ Νίκῃ ᾄδει· 2. „Πολλάκις μὲν κίνδυνος τοῖς πολίταις γίγνεται, ἀεὶ δ' αὐτοὺς σῴζεις. 3. Τῷ αὐτῷ οὖν τρόπῳ καὶ ὕστερον ἄμυνε τοῖς τε στρατιώταις καὶ τοῖς ναύταις καὶ διάφθειρε τοὺς πολεμίους αὐτῶν.“ 4. a) Τοῖς τοῦ ποιητοῦ λόγοις ἡ θεὸς ἥδεται. b) Ἡ θεὸς ἥδεται τοῖς λόγοις αὐτοῦ. — 5. Ὦ πολῖτα, δίδασκε τοὺς υἱοὺς θεραπεύειν τοὺς ποιητάς. 6. Πολλοὶ πολῖται μετὰ τὸν θάνατον λιθίνων στηλῶν ἄξιοι νομίζονται.

C Κλεομένης ὁ Λακεδαιμόνιος τὸν μὲν Ὅμηρον Λακεδαιμονίων εἶναι ποιητὴν ἔφη, τὸν δ' Ἡσίοδον τῶν δούλων· τὸν μὲν γὰρ ὡς χρὴ πολεμεῖν[1], τὸν δ' ὡς χρὴ γεωργεῖν[2] διδάσκειν.

[1] *inf. от* πολεμέω веду войну [2] *inf. от* γεωργέω обрабатываю землю

7

Περὶ τοῦ θεάτρου

I 1. Ἐν Ἀθήναις θέατρον ἦν Διονύσου τοῦ θεοῦ. 2. Ἐνταῦθα τοῖς τε Ληναίοις καὶ τοῖς Διονυσίοις[1] οἱ ποιηταὶ τραγῳδίας ἐδίδασκον. 3. Πρῴ οἱ πολῖται ἔβαινον εἰς τὸ θέατρον καὶ ἔμενον ἐκεῖ μέχρι δείλης[2]. 4. Πρῶτον μὲν κῆρυξ[3] ἐσάλπιζε καὶ ἔλεγεν αὐτοῖς· „Ἐνθάδε πολλάκις, ὦ Ἀθηναῖοι, ἐβαίνετε καὶ σιγῇ ἐβλέπετε τὰς τραγῳδίας. 5. Σιγὴν οὖν ἔχετε καὶ τήμερον· τοιαύτας[4] γὰρ τραγῳδίας οὐ πρότερον ἐβλέπομεν.“ 6. Ἔπειτα δ' οἱ πολῖται ἐπείθοντο καὶ σιγὴ ἐγίγνετο.

II 7. Ἦ πολλὰς τραγῳδίας ἔβλεπες; — Ἔβλεπον, ὦ διδάσκαλε. 8. Ἆρα πολλάκις ἐπορεύεσθε διὰ τῆς Εὐρώπης; — Οὐκ ἐπορευόμεθα δι' αὐτῆς. 9. Τί ἐβούλου τοὺς διδασκάλους σε διδάσκειν; — Ἐβουλόμην τοὺς διδασκάλους με μύθους διδάσκειν. 10. Ἡ τραγῳδία ὑπ' αὐτοῦ τοῦ ποιητοῦ ἐδιδάσκετο. 11. Ἡ τραγῳδία ὑπὸ τοῦ αὐτοῦ ποιητοῦ ἐδιδάσκετο.

[1] τὰ Λήναια Ленеи; τὰ Διονύσια Дионисии, *аттические праздники, справлявшиеся приблизительно в январе и марте* [2] ἡ δείλη вечер [3] ὁ κῆρυξ глашатай [4] tales

8

A

I 1. Ἡ ἀδικία πολλάκις αἰτία ἐστὶ πολέμων. 2. Καλαὶ τραγῳδίαι σιγῆς ἄξιαί εἰσιν. 3. Ἡ μὲν τοῦ φίλου οἰκία μακρά, ἡ δὲ τοῦ ἀδελφοῦ μικρά ἐστιν. 4. Τὸν

Ὄλυμπον οἰκίαν τῶν θεῶν νομίζομεν. 5. Ἐν τῇ ἀγορᾷ πολλαὶ οἰκίαι εἰσίν. 6. Ὁ νεανίας τῷ ἀνδρείῳ πολίτῃ πείθεται. 7. Ἀνδρεῖοι νεανίαι ἐκ τῶν ἔργων γιγνώσκονται. 8. Ἡ τοῦ νεανίου ἀνδρεία θαυμάζεται. 9. Ἀνδρείως καὶ δικαίως Θησεὺς βασιλεύει τῆς πολιτείας.

Περὶ Τροίας

II 1. Ἐν Τροίᾳ ποτὲ δικαίως ἐβασίλευε Πρίαμος. 2. Πολλαὶ καὶ μακραὶ οἰκίαι ἦσαν ἐν τῇ ὀρθίᾳ τῆς Τροίας ἄκρᾳ. 3. Ἐξ ὅλης γὰρ τῆς χώρας τῆς ἀμφὶ Τροίαν οἱ γεωργοὶ καὶ ἐξ ἄλλων χωρῶν οἱ ναῦται πολλὰ σπουδαίως συνέφερον εἰς τὴν ἀγοράν. 4. Ὥστε πλουσία μὲν ἦν ἡ Τροία, πλούσιοι δὲ καὶ τῶν πολιτῶν αὐτῆς οἱ πολλοὶ ἦσαν. 5. Ἐπεὶ δέ ποτε πόλεμος ἦν, ἥ τε Τρωικὴ στρατιὰ καὶ ἡ Ἑλληνικὴ δέκα ἐνιαυτοὺς ἀνδρείως ἐμάχοντο. 6. Αἰτία δὲ τοῦ πολέμου ἦν ἡ Ἀλεξάνδρου τοῦ νεανίου ἀδικία. 7. Ἐν τῷ πολέμῳ Τροία διεφθείρετο. — 8. Περὶ τῆς τῶν στρατηγῶν καὶ τῶν στρατιωτῶν ἀνδρείας Ὅμηρος λέγει. 9. Ἡ τοῦ Ὁμήρου βίβλος Ἰλιὰς ὀνομάζεται, ὅτι περὶ Ἰλίου ἐστίν. 10. Ὅμηρος Τροίαν ἱερὰν λέγει. — 11. Πλουσία ἦν Ῥώμη ἀνδρείων στρατιῶν. — 12. Ἀνεβαίνομεν εἰς τὴν ἄκραν.



Облачение Гектора в доспехи.
Аттическая амфора, ок. 510 г.

13. Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς.

B 1. Τίς ἦν αἰτία τοῦ Τρωικοῦ πολέμου; 2. Τίνος υἱὸς ἦν Ἀλέξανδρος; 3. Τίνι οἱ πολῖται ἐπείθοντο; 4. Τίνα νομίζεις αἰτίαν τοῦ πολέμου; 5. Τί βούλει, ὦ φίλε;

9

A 1. Τοῖς πολεμίοις μαχόμενος Ἀλέξανδρος ἔνδοξος γίγνεται.
2. Ἀλεξάνδρεια μεστὴ ἦν τῶν ταῖς βίβλοις ἡδομένων.
3. Ὁ κολαζόμενος οὐκ ἀεὶ ἀπαλλάττεται κακίας.

4. Πιεζόμενοι οἱ Αἰγύπτιοι ὑπήκοοι τοῦ ᾿Αλεξάνδρου γίγνονται.
5. Πιεζομένης τῆς Αἰγύπτου ῏Αγις ἐβασίλευε τῆς Σπάρτης.
6. ᾿Οργιζομένων τῶν θεῶν οἱ ἄνθρωποι θύουσιν.

Περὶ τοῦ ἐν ᾿Αλεξανδρείᾳ βίου

B 1. Δεινή ἐστιν ἡ τῆς ᾿Αλεξανδρείας δόξα. 2. Τῆς δὲ δόξης ᾿Αλέξανδρος αἴτιός ἐστιν. 3. ᾿Αλέξανδρος γὰρ αὐτὴν μετὰ τὴν τῶν πολεμίων ἧτταν κτίζει πρὸς τῇ τοῦ Νείλου ποταμοῦ εἰς τὴν θάλατταν εἰσβολῇ[1]. 4. Οἱ δὲ ᾿Αλεξάνδρου διάδοχοι[2] αὐτῆς φροντίζουσιν, ὥστε μέση ἡ ᾿Αλεξάνδρεια μεστὴ γίγνεται ἱερῶν τε καὶ γεφυρῶν καὶ ὁδῶν. 5. Πολλοὶ οὖν παντοίων γλωττῶν ἄνθρωποι ἐκεῖσε πλέουσι καὶ μετ᾿ εὐσεβείας τοῖς θεοῖς θύουσιν. 6. ᾿Εν δὲ τῷ Μουσείῳ λεγομένῳ τῶν μουσῶν ἱερῷ οἱ σοφοὶ τοῖς μαθηταῖς τῇ ῾Ελληνικῇ γλώττῃ διαλέγονται. 7. Μετὰ πολλοὺς ἐνιαυτοὺς οἱ ῎Αραβες[3] τοῖς τῆς ᾿Αλεξανδρείας πολίταις μαχόμενοι ἄλλους τε πολλοὺς οἴκους καταχαίουσι καὶ τὸ Μουσεῖον. 8. Καταχαιομένου τοῦ Μουσείου πολλαὶ βίβλοι διεφθείροντο. 9. Νῦν δ᾿ οἱ Αἰγύπτιοι αὐτοὶ ἄρχουσι τῆς Αἰγύπτου. — 10. ῾Η λιθίνη γέφυρα ἐν πολέμοις πολλάκις διεφθείρετο. 11. ᾿Απὸ τῆς γεφύρας εἰς τὴν θάλατταν βλέπομεν. — 12. Τὴν ἐν τῇ κώμῃ γέφυραν ὁ ποταμὸς διέφθειρεν. 13. Διαφθειρομένων τῶν γεφυρῶν οἱ γεωργοὶ ἐν ταῖς κώμαις μένουσιν.

14. ῾Η γλῶττα πολλῶν ἐστιν αἰτία κακῶν.

[1] устье [2] ὁ διάδοχος преемник, наследник [3] арабы

C 1. ῎Ενδοξοί εἰσιν αἱ ᾿Αλεξάνδρου στρατεῖαι. 2. Πολλαὶ χῶραι ὑπήκοοι ἦσαν αὐτοῦ. 3. Μετ᾿ ᾿Αλέξανδρον αἱ στρατιαὶ ἔμπειροι ἦσαν τοῦ παντοίοις βαρβάροις μάχεσθαι. — 4. ῎Εχομεν τὴν ψυχὴν ἀθάνατον. 5. ῾Η δίκη τοῖς μὲν δικαίοις σύμμαχός ἐστιν, τοῖς δ᾿ ἀδίκοις ἐχθρά. 6. ῎Απιστος ἡ δόξα. 7. ῎Απιστον ἡ δόξα.

10

A

I 1. Οὐκ ἀεὶ οἱ ᾿Αθηναῖοι τῷ ᾿Αλκιβιάδῃ ὠργίζοντο. 2. ῏Αρ᾿ ᾐσθάνου τῆς τῶν ἐχθρῶν ἀδικίας; 3. Πολλάκις οἱ θεοὶ πονηροὺς ἀνθρώπους εἰς δένδρα ἢ θηρία ἤλλαττον. 4. Οἱ στρατιῶται ἐν τῷ πεδίῳ ἠθροίζοντο. 5. Τίς τὸν ἥλιον θεὸν ὠνόμαζεν;

᾿Εξ ᾿Οδυσσείας[1] λέγεται

II 1. ᾿Οδυσσεύς ποτε τῆς ᾿Ιθάκης ἦρχε καὶ τὴν τῆς νήσου ῥώμην ἦρε καὶ τὸν τῶν πολιτῶν πλοῦτον ηὔξανεν. 2. Ὅτε δ' οἱ Ἕλληνες ὡπλίζοντο καὶ πρὸς Τροίαν ἐστρατεύοντο, ᾿Οδυσσεὺς καὶ αὐτὸς μετὰ τῶν ἄλλων ἐλαύνει ἐπ' Ἴλιον. 3. Μετὰ τὴν νίκην δέκα ἐνιαυτοὺς ἐν τῇ θαλάττῃ περιήγετο. 4. Πηνελόπη δ', ἡ γυνή[2] αὐτοῦ, οἴκοι ἦν καὶ ἐκεῖνον ἔτι περιεῖναι ἐπίστευεν (ᾤετο). 5. Πολλῶν οὖν καὶ γενναίων νεανιῶν αὐτὴν μνηστευομένων Πηνελόπη οὐκ ἤθελεν ἄπιστος εἶναι τῷ γαμέτῃ[3]. 6. Διὸ δόλον ὕφαινε καὶ τοὺς μνηστευομένους ἔσφαλλεν. 7. Πολλάκις οὖν οἱ Ἑλληνικοὶ ποιηταὶ τὴν Πηνελόπης δόξαν ᾖδον. — 8. Τοῖς ἐνδόξοις ποιηταῖς οἱ ᾿Αθηναῖοι στήλας ἵδρυον.



Пенелопа и Телемах у ткацкого станка.
Аттический скифос, ок. 440 г.

[1] ἡ ᾿Οδύσσεια Одиссея [2] ἡ γυνή супруга [3] ὁ γαμέτης супруг

B Διογένης οὔτ' ἐμέμφετο τὴν πενίαν οὔτ' ὠργίζετο τοῖς πλουσίοις, αὐτὸς δ' ἐν πίθῳ[1] ηὐλίζετο[2]. Ὅμως δ' ἀεὶ ὑγίαινε καὶ οὐκ ᾐσθάνετο ἀπορίαν. Ηὕρισκεν δ' ἀεὶ τὰ ἐπιτήδεια, ὥστε οἱ πολῖται ᾔκαζον (εἴκαζον) αὐτὸν μακάριον εἶναι.

[1] ὁ πίθος бочка [2] αὐλίζομαι ночую, живу под открытым небом

C 1. Τίνες εἰσὶν αἱ τῆς Εὐρώπης χῶραι;
2. Τίνων ἀνθρώπων τοὺς τρόπους Ἡρόδοτος ἔγραφεν;
3. Τίσι λόγοις ἥδετο ὁ διδάσκαλος;
4. Τίνας δόλους ᾿Οδυσσεὺς εὕρισκεν (ηὕρισκεν);
5. Τίνα ἄστρα ἐβλέπετε;

11

A

I

1. Νῦν μὲν γράφω ἐπιστολήν,	αὔριον δ' ὁ ἐμὸς φίλος αὐτὴν λύσει.
2. Παύσομεν τὸν ᾿Αρίστιππον τῆς στρατηγίας.	Παύσομαι τῆς βοῆς.
3. ᾿Απορέουσιν[1] ἀργυρίου,	ὥσθ' ὕστερον ἀπορήσουσι καὶ τῶν ἐπιτηδείων.

II 1. Ὁ ἡμέτερος φίλος τοῖς τέκνοις δῶρα παρέχει. 2. Ἐγὼ μὲν τοῖς ὑμετέροις λόγοις πιστεύω, ὑμεῖς δ' οὐ φείδεσθέ μου. 3. Σοὶ μὲν πολλοὶ ἕπονται, ἐμὲ δὲ πολλοὶ φίλον νομίζουσιν. 4. Πάρεχέ μοι τὸ φάρμακον καὶ φονεύσω τὰ θηρία τὰ ἐν τῷ ἀγρῷ σου. 5. Οἱ φίλοι μου τὴν σὴν οἰκίαν θαυμάζουσιν. 6. Μεθ' ἡμῶν θεραπεύετε τοὺς θεοὺς ἡμῶν (*или:* τοὺς ἡμετέρους θεούς).

[1] *В аттическом диалекте всегда со слиянием гласных:* ἀποροῦσιν

Ὀδυσσεὺς ἐν Ἅιδου Τειρεσίᾳ διαλέγεται

B 1. Ὀδυσσεὺς ἐν Ἅιδου τὸν Τειρεσίαν βλέπει καὶ παρ' αὐτοῦ τάδε μανθάνει 2. „Ὦ Λαερτιάδη, ὁ σὸς νόστος οὐκ ἄπονος ἔσται. 3. Ποσειδῶν γὰρ ἀεὶ ἐλπίζει σὲ καὶ τοὺς σοὺς ἑταίρους φονεύσειν. 4. Οὔκουν παύσεται τῆς ὀργῆς. 5. Ἀλλ' οἱ τῆς θαλάττης κίνδυνοι οὐ κωλύσουσί σε ἥκειν εἰς τὴν Ἰθάκην. 6. Ἐκεῖ εὑρήσεις[1] πολλοὺς τὴν Πηνελόπην μνηστευομένους. 7. Σὺ δὲ καὶ Τηλέμαχος, ὁ σὸς υἱός, οὐκ ἐάσετε φεύγειν αὐτούς, ἀλλὰ φονεύσετε. 8. Οὐκοῦν πίστευε τοῖς ἐμοῖς λόγοις. 9. Τότε σὺ νικήσεις καὶ οἱ ὑμέτεροι πόνοι παύσονται. 10. Οὐκοῦν πείθῃ ἐμοί;“

[1] *fut. от* εὑρίσκω

C 1. Ἦν τις ἐν τῇ στρατιᾷ Ἀθηναῖος. 2. Ἦσάν τινες στρατοπεδευσόμενοι ἐν τῷ πεδίῳ. 3. Εἴ τινα ὀνειδίζεις, κολάζῃ. 4. Εἴ τινας ὀνειδίζετε, κολάζεσθε. 5. Πότε τινὶ πιστεύσετε;

12

A

I

1. Πολλοὺς ἐνιαυτοὺς Δαρεῖος τῶν Περσῶν ἐβασίλευεν.	Μετὰ τὸν Δαρείου θάνατον Ξέρξης τῶν Περσῶν ἐβασίλευσεν.
2. Οἱ στρατιῶται βουλευόμενοι ἡσυχίαν ἦγον,	βουλευσάμενοι δὲ ἐθορύβησαν.
3. Τὰ τῶν Λακεδαιμονίων τέκνα τοὺς θεοὺς θεραπεύειν μανθάνει.	Τὸ τέκνον βούλεται θεραπεῦσαι τὸν θεὸν ἐν τῷ ἱερῷ.
4. Μήποτ' ἀνόσια λέγε,	Δήλωσον, τί ἄρτι ἤκουσας.
5. Νῦν μὲν βουλεύῃ,	βουλευσάμενος δὲ φύτευσον τὰ δένδρα, ὦ φίλε.

II 1. Ἐπεὶ εἰς Ἀθήνας ἧκον, ἐνόσησα. 2. Ἠκροασάμεθα τῶν τοῦ ποιητοῦ λόγων, ἀκροάσασθ' αὐτῶν καὶ ὑμεῖς. 3. Δαρεῖος τοὺς ἐν τῇ Ἀσίᾳ δήμους δουλωσάμενος πρὸς τοὺς ἐν τῇ Εὐρώπῃ ἐστρατεύσατο. 4. Εἴ τις ἄλλους ἐδούλωσε, δεσπότης ὀνομάζεται. 5. Εὐχὴ Ἀθηναίων· ὗσον, ὗσον, ὦ φίλε Ζεῦ[1]. 6. Δαρεῖος ἐπὶ τοὺς Σκύθας στρατευόμενος ἐμπείρους τινὰς ἐκέλευσε γέφυραν διὰ τοῦ Ἴστρου ποταμοῦ κατασκευάζειν. 7. Οἱ τῶν Περσῶν δεσπόται ἐπὶ τοὺς Σκύθας στρατευσάμενοι τὴν Εὐρώπην καταστρέφεσθαι ἐβουλεύσαντο, ἀλλ' οὐκ ἐδούλωσαν

αὐτην. — 8. Τί ἐν τῷ θεάτρῳ ἐθεάσω; — ᾿Εθεασάμην τὴν Εὐριπίδου ᾿Ηλέκτραν. — Θέασαι δὲ καὶ τὰς Αἰσχύλου Χοηφόρους[2]. — 9. Κύριε, ἐλέησον· Χριστέ, ἐλέησον.

[1] *voc.* от Ζεύς [2] αἱ Χοηφόροι хоэфоры, *женщины, приносящие возлияния умершим*

Δημάδης περὶ Αἰσώπου διηγήσατο

B Δημάδης ἐδημηγόρησέ[1] ποτε ἐν ᾿Αθήναις. Τῶν δ' ᾿Αθηναίων οὐ πάνυ αὐτοῦ ἀκροασαμένων „᾿Εάσατέ μ᾿," ἔφη, „Αἰσώπειον μῦθον διηγήσασθαι." Οἱ δ' ὡμολόγησαν, καὶ Δημάδης· „Δημήτηρ καὶ χελιδὼν καὶ ἔγχελυς[2] τὴν αὐτὴν ἐπορεύοντο ὁδόν. Πορευομένων δ' αὐτῶν κατὰ ποταμόν τινα ἡ μὲν χελιδὼν ἀποπέτεται, ἡ δ' ἔγχελυς ἀπονήχεται[3]." Καὶ ταῦτα[4] διηγησάμενος ἐσιώπησεν. Οἱ δ' ἠρώτησαν·" „Τί οὖν ἡ Δημήτηρ;" „᾿Οργίζεται," ἦ δ' ὅς, „ὑμῖν, ὅτι τοῦ μὲν δήμου ἠμελήσατε, Αἰσωπείων δὲ μύθων ἀκούετε."

[1] δημηγορέω произносить речь перед народом [2] ἡ χελιδών ласточка; ἡ ἔγχελυς угорь [3] νήχομαι плаваю [4] ταῦτα haec это

13

A

1. Οἱ ᾿Αθηναῖοι πολλάκις ἀγαθοὺς πολίτας ἐξέβαλλον.	Καὶ τὸν ᾿Αριστείδην ἐξέβαλον.
2. ᾿Εξ ᾿Αθηνῶν πολλοὶ πολῖται ἔφευγον.	Καὶ ὁ ᾿Αριστείδης ἔφυγεν.

Περὶ Δαιδάλου καὶ ᾿Ικάρου

B 1. Δαίδαλος ᾿Αθηναῖος, ἐπεὶ μαθητήν τινα ἐφόνευσεν, ἔλιπε τὰς ᾿Αθήνας καὶ ἔφυγεν εἰς Κρήτην. 2. Μίνως δ' ὁ τῆς νήσου δεσπότης ἔμαθεν, ὅτι ὁ σοφὸς ᾿Αθηναῖος ἦλθεν εἰς Κρήτην, καὶ ἤγαγεν αὐτὸν εἰς τὰ βασίλεια καὶ φίλον ἐποιήσατο. 3. Δαίδαλος δὲ τῷ δεσπότῃ τὸν λαβύρινθον ἵδρυσεν. 4. Πολλοὺς οὖν ἐνιαυτοὺς ἐν Κρήτῃ ἔμενε, ἀλλ' οὐκ ἐβούλετο ἐκεῖ μένειν εἰς ἀεί. 5. ῞Ωστε Ἴκαρος ὁ υἱὸς αὐτοῦ ἠρώτησε τὸν Δαίδαλον· „Ἆρ' οὐκ ἐθέλεις εὑρεῖν ὁδὸν εἰς ᾿Αθήνας; οὔπω γὰρ τοὺς κινδύνους ἐφύγομεν." 6. Δαίδαλος τοίνυν ἔλαβε πτερὰ[1] καὶ πολλὰ αὐτῶν συγκολλησάμενος[2] εἶπε τῷ υἱῷ· „Φύγε μετ' ἐμοῦ καὶ πετόμενος λαβὲ τὴν μέσην ὁδόν (= τὴν ὁδὸν τὴν ἐν μέσῳ τοῦ οὐρανοῦ καὶ τῆς θαλάττης)". 7. Τότε ἔλιπον τὴν νῆσον. 8. Πετόμενος δ' ὁ Ἴκαρος εἶδε τὸν ἥλιον καὶ ἀπέβαλε[3] τοὺς τοῦ Δαιδάλου λόγους. 9. ῞Ωστε οὐ πειθόμενος τῇ πατρῴᾳ βουλῇ οὐ τὴν μέσην, ἀλλὰ τὴν παρὰ τῷ ἡλίῳ ὁδὸν πέτεται. 10. Διὸ (= διὰ τοῦτο или διὰ ταῦτα) ἔπεσε εἰς τὴν θάλατταν. 11. Τὸν δὲ Δαίδαλον ἡ λύπη ἔφαγεν.

[1] τὸ πτερόν перо, крыло [2] κολλάω клею [3] ἀπο-βάλλω *буквально?*

A 1. Ἐν τῇ τῶν Λωτοφάγων χώρᾳ οἱ ναῦται ἔσχον λωτόν. 2. Ἐν τῇ θαλάττῃ πολλὰς μὲν ἡμέρας εἴχομεν ἡσυχίαν, ἐξαίφνης δ' ἔσχομεν ἄνεμον. 3. Οὐκ ἀνασχέσθαι βουλόμεθα τὴν σὴν ἀδικίαν. 4. Οὐκ ἀνασχομένη τὴν τῶν μνηστευομένων κακίαν Πηνελόπη ηὗρε δόλον. 5. Οἱ δέ· „Ἀπόσχου" εἶπον „ὦ Πηνελόπη, τοῦ ὑφαίνειν καὶ ἐπιλαθοῦ τοῦ γαμέτου[1]." 6. Ἡ οὖν Πηνελόπη τῇ θεῷ εὔχεται· „Ἀπόσχε μου τοὺς ἀδίκους ἀνθρώπους, οὐ γὰρ ἄλλον σχεῖν βούλομαι γαμέτην."

[1] ὁ γαμέτης супруг

Τὰ ἐν τῇ τῶν Λωτοφάγων χώρᾳ

B 1. Ἐπεὶ Ὀδυσσεὺς Τροίαν ἔλιπε, δεινὸς ἄνεμος ἐγένετο καὶ ἤγαγεν αὐτὸν εἰς τὴν τῶν Λωτοφάγων χώραν. 2. Τῶν οὖν ἑταίρων πολλοὶ οὐκ ἀπέσχοντο τοῦ λωτοῦ, ἀλλ' ἔφαγον. 3. Αὐτίκα δὴ ἐπιλαθόμενοι τῆς πατρῴας χώρας οὐκ ἐβούλοντο ἐπανελθεῖν. 4. Ὀδυσσεὺς δὲ τοῦτ' αἰσθόμενος βιαίως αὐτοὺς εἰς τὰ πλοῖα ἤγαγεν. 5. Καὶ ἐνίαις ἡμέραις ὕστερον παρεγένετο εἰς τὴν τῶν Κυκλώπων νῆσον. — 6. Οὐ χρὴ ἐπιλαθέσθαι τῶν Ὁμήρου μύθων.



Возвращение Одиссея.
Аттический скифос, ок. 440 г.

C Ἐν τῷ πρὸς τοὺς Ῥωμαίους πολέμῳ Πύρρος Γάϊον Φαβρίκιον ἔπειθε λαβεῖν χρυσίον. Ὁ δὲ Φαβρίκιος οὐκ ἔφη ὀρέγεσθαι[1] χρυσίου, καὶ Πύρρος τότε μὲν ἡσυχίαν ἦγε, τῇ δ' ὑστεραίᾳ βουλόμενος φοβῆσαι αὐτὸν οὔπω ἐλέφαντα[2] θεασάμενον ἐκέλευσε τῶν θηρίων τὸ μέγιστον ἐξόπισθεν αὐτῶν προσάγειν. Τὸ δὲ θηρίον ἐξαίφνης τήν τε προνομαίαν[3] ὑπερέσχε τῆς τοῦ Φαβρικίου κεφαλῆς καὶ φωνὴν ἤχησε[4] φοβεράν. Ὁ δὲ ἐμειδίασε καὶ πρὸς τὸν Πύρρον εἶπεν· „Οὔτε χθές με τὸ χρυσίον ἐκίνησεν οὔτε σήμερον τὸ θηρίον."

[1] ὀρέγομαί τινος стремиться, добиваться чего-л. [2] *acc.sing. от* ἐλέφας слон
[3] ἡ προνομαία хобот [4] ἠχέω издавать звук, трубить

15

A

I	Τίνος λόγοι ἐπαίδευον τοὺς Ἀθηναίους;	Σόλωνος
	Τίνι οἱ Ἀθηναῖοι ἐπείθοντο;	Σόλωνι
	Τίνα οἱ Ἀθηναῖοι ἐθεράπευον;	Σόλωνα
	Τίνες ἦσαν διδάσκαλοι τῶν Ῥωμαίων;	Οἱ Ἕλληνες
	Τίνων ἀνθρώπων χώρα Ἑλλὰς ὀνομάζεται;	Ἡ τῶν Ἑλλήνων χώρα
	Τίσι(ν) οἱ Πέρσαι ἐμάχοντο;	Τοῖς Ἕλλησι(ν)
	Τίνας οἱ Ῥωμαῖοι ἐνίκησαν;	Τοὺς Ἕλληνας

II 1. Τοὺς Πέρσας δικαίους (εἶναι) λέγομεν. 2. Οἱ τῶν Περσῶν νόμοι δίκαιοι (εἶναι) λέγονται. 3. Θησεὺς δικαίως βασιλεύειν ἐλέγετο. 4. Δικαίως ἐβασίλευεν, ὥστε οἱ Ἀθηναῖοι αὐτοῦ οὐκ ἐπελάθοντο. 5. Οἱ στρατιῶται ᾖδον, ὥστε τοὺς πολεμίους ἀκούειν. 6. Οἱ στρατιῶται ἐσιώπησαν, ὥστε τοὺς πολεμίους μὴ ἀκούειν.

B 1. Οἱ ποιμένες τοῖς θεοῖς ὡς σωτῆρσι ναοὺς ἵδρυσαν. 2. Χειμῶνος καὶ ἔαρος μακροὺς χιτῶνας ἔφερον, ὥστε μήτε τὴν χιόνα μήτε τὸν ψυχρὸν ἀέρα αὐτοὺς βλάπτειν. 3. Οἱ σώφρονες ποιμένες τοὺς θῆρας τῶν τε λειμώνων καὶ τῶν ἀγρῶν ἀμύνουσιν, ὥσθ' οἱ ἄνθρωποι ἱκανῶς τρέφονται. 4. Χεὶρ χεῖρα νίζει[1]. 5. Οὐ μόνον ταῖς χερσὶ καὶ τῇ γλώττῃ, ἀλλὰ καὶ τῇ ψυχῇ οἱ ἄνθρωποι τοῖς θεοῖς εὔχονται. 6. Τοῖς ἐπιστήμοσι ῥήτορσιν οἱ πολῖται καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ πολλάκις ἐπίστευσαν. 7. Οἱ σύμμαχοι ὀψὲ ἐκ τοῦ λιμένος ἀναβαίνουσιν ὡς στρατευσόμενοι. 8. Μετὰ τὸν πόλεμον οἱ εὐδαίμονες πολῖται τὰ Παναθήναια ἄγουσι καὶ ἐλπίζουσιν ἐν τοῖς ἀγῶσι νικήσειν. 9. Μία χελιδὼν ἔαρ οὐ φέρει. 10. Ἐτεοκλῆς καὶ Πολυνείκης μιᾷ ἡμέρᾳ ἰδίᾳ χειρὶ ἀπέθανον. 11. Οἱ Χριστιανοὶ ἑνὶ θεῷ εὔχονται. 12. Οἱ Ῥωμαῖοι ἀνδρείως μὲν μάχονται, σωφρόνως δ' εἰρήνην ἄγουσιν. 13. Ἀριστοτέλης λέγει· „Ἀναγκαῖόν ἐστι τὴν παιδείαν μίαν καὶ τὴν αὐτὴν εἶναι πάντων[2] καὶ ταύτης(= eius) τὴν ἐπιμέλειαν εἶναι κοινήν."

14. Ἔργων πονηρῶν χεῖρ' ἐλευθέραν ἔχε.

[1] моет [2] omnium

C 1. Εἰ οἱ νῦν Ἕλληνες ἐπελανθάνοντο τοῦ Ὁμήρου, δικαίως ἂν αὐτοὺς ἐμεμφόμεθα. Ἀλλ' οὔπω ἐπελάθοντ' αὐτοῦ. 2. Εἰ μὴ οἱ σώφρονες ποιμένες τοὺς θῆρας τῶν λειμώνων ἤμυνον, οὐκ ἂν οἱ ἄνθρωποι ἱκανῶς ἐτρέφοντο. 3. Εἰ μὴ τὰ Ὁμήρου ἔργα ἀνεγιγνώσκομεν, πολλὰ ἂν ἡμῖν ἄδηλα ἦν.

16

A

I 1. Κῦρος τὴν φάλαγγα ἔταξεν. 2. Πολλὰς ἡμέρας καὶ νύκτας ἡ μήτηρ τὸ παιδίον ἐφύλαξεν. 3. Οἱ πολῖται τὸν κακοῦργον ἀπὸ τῆς ἄκρας κατέρριψαν. 4. Οἱ φύλακες ἐλπίζουσι πρῶτοι κατασκέψεσθαι τοὺς πολεμίους πορευομένους πρὸς τὴν στρατιάν. 5. Μὴ κόλαξι πίστευε. 6. Γλαῦκας εἰς Ἀθήνας φέρεις.

II 1. Οἰδίπους ἐν Δελφοῖς ποτε μαντευσάμενος ἔμαθε παρὰ τοῦ Ἀπόλλωνος, ὅτι τὸν πατέρα[1] κατασφάξει καὶ τὴν μητέρα[1] ἄξει πρὸς γάμον. 2. Ὃ καὶ ἐγένετο[2]· οὐ γὰρ ἐγίγνωσκεν οὔτε πατέρα οὔτε μητέρα. 3. Ἐπεὶ δ' ἐβασίλευεν τῶν Θηβῶν πολλοὺς ἤδη ἐνιαυτούς, δεινὴ νόσος ἤρξατο πιέζειν τοὺς πολίτας, ὥστε πολλοὺς ἀποθνήσκειν. 4. Οἰδίπους οὖν διὰ κήρυκος ἐπύθετο παρὰ τοῦ Τειρεσίου τὴν τῆς νόσου αἰτίαν. 5. Ἔλεξεν δ' ὁ Τειρεσίας τοὺς θεοὺς κατασφάξαι τοὺς Θηβαίους, ὅτι αὐτῶν τις ἀνόσια ἔπραξεν. 6. „Εὔξασθ'", ἔφη, „ὦ πολῖται, τῷ Ἀπόλλωνι νυκτὸς καὶ ἡμέρας, σὺ δ', ὦ τύραννε, ἐπίταξον ζητῆσαι τὸν κακοῦργον." 7. Οἰδίπους δὴ ἐζήτησε τὸν κακοῦργον καὶ ἐδήλωσε τὴν ἀσέβειαν, ὥστ' ἐπαύσατο τῆς ἀρχῆς.

[1] *acc. от* πατήρ, μήτηρ отец, мать [2] ὃ ἐγένετο (id) quod factum est

B 1. Οἰδίπους τὴν Ἰοκάστην ἤγαγε γυναῖκα. 2. Σωκράτης τῆς γυναικὸς ὀλοφυρομένης· „Ἀδίκως ἀποθνήσκεις", „Σὺ δέ", ἔφη, „δικαίως με ἀποθανεῖν ἐβούλου;" 3. Μηδὲν ἄγαν. 4. Μηδένα βλάπτε. 5. Ὦ φίλε, φύλαξαι τοὺς ἐχθρούς. 6. Οἱ Ἕλληνες οὐδένα ἄνθρωπον, ἀλλὰ τοὺς θεοὺς προσεκύνησαν. 7. Οὐδεμία χώρα τὸν κακοῦργον ἐδέξατο. 8. Κῦρος στρατὸν συνέλεξεν. 9. Ὁ μέγας τύραννος μέγα ἐφρόνησε ἐπὶ τῷ μεγάλῳ στρατῷ.

10. Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.

C 1. Μετὰ τὴν μάχην οἱ βάρβαροι τοὺς τῶν πολεμίων νεκροὺς τοῖς γυψὶν ἔρριψαν καταφαγεῖν. 2. Οἱ γῦπες ὄνυχας ἔχουσιν. 3. Πολλοὺς ἤδη ξένους μετεπέμψω, ὦ τύραννε, μετάπεμψαι οὖν καὶ τοὺς φίλους. 4. Ὁ Ἀρμενίων τύραννος ἔπεμψε κατασκεψομένους, τί πράττει Κῦρος. 5. Ἐν Αἰγὸς ποταμοῖς οἱ Λακεδαιμόνιοι ἐτρέψαντο τοὺς Ἀθηναίους. — Ἐν Αἰγὸς ποταμοῖς οἱ Ἀθηναῖοι ἐτράποντο. 6. Οἱ θεοὶ ἔβλαψαν τὴν χώραν διὰ τὴν τῶν πολιτῶν ἀσέβειαν.



Стрелок из лука. Роспись на аттическом сосуде, ок. 490 г.

D 1. Εἰ ἔπεσες, ἐνόσησας ἄν. 2. Εἰ γλαῦκας εἰς Ἀθήνας ἤγαγες, ἄφρον ἄν τι ἔπραξας. 3. Εἰ οἱ σύμμαχοι ἦλθον, οἱ πολέμιοι ἔφυγον ἄν. 4. Εἰ μὴ Ξενοφῶν τὴν Κύρου παιδείαν ἔγραψεν, οὐκ ἂν ἐγιγνώσκομεν τὴν Κύρου παιδίαν[1]. 5. Εἰ οἱ πολῖται ηὔξαντο τοῖς θεοῖς, οὗτοι[2] ἂν αὐτοῖς ἐβοήθησαν. 6. Εἰ μὴ Οἰδίπους ἐφόνευσε τὸν πατέρα, οὐκ ἂν τὴν μητέρα ἤγαγε γυναῖκα.

7. Εἰ μὴ γὰρ ἦν Χρύσιππος[3], οὐκ ἂν ἦν Στοά.

[1] ἡ παιδία детство [2] οὗτοι эти, они [3] известный философ-стоик, III в. до н.э.

17

᾿Αττικά τινα διηγεῖται[1] ᾿Αθηναῖός τις

A 1. Τάδε ᾿Αθηναῖός τις τῷ υἱῷ διηγήσατο· 2. „῏Ω παῖ, οἱ ἡμέτεροι πρόγονοι ἐπὶ τοὺς Πέρσας πολλάκις στρατιὰς συνέλεγον. 3. Οἱ μὲν οὖν ὁπλῖται ὡπλίζοντο θώραξιν, ἀσπίσιν, κόρυσιν, δόρασιν, κνημῖσιν. 4. ᾿Εβούλοντο γὰρ σῶσαι τὴν πατρίδα. 5. Οἱ δὲ γυμνῆτες, τοῦτ᾿ ἔστιν σφενδονῆταί τε καὶ τοξόται καὶ πελτασταί, γυμνοὶ ἦσαν τάς τε κεφαλὰς καὶ τὰ στέρνα[2] καὶ τὰ γόνατα. 6. ᾿Εν Μαραθῶνι τοῖς Πέρσαις ἀντιταξάμενοι πρῶτον μὲν αὐτῶν τὰ κέρατα, ἔπειτα δὲ καὶ μέσην τὴν φάλαγγα εἰς φυγὴν ἔτρεψαν. 7. Τὴν ἐν Μαραθῶνι νίκην οἱ ᾿Αθηναῖοι ὑπὲρ τῆς ῾Ελλάδος ἐνίκησαν, ἀλλ᾿ οὐκ ἀεὶ οἱ ῞Ελληνες ταῖς ᾿Αθήναις χάριν εἶχον. 8. Εἰ μὴ τῶν βαρβάρων περιεγένοντο, οὐκ ἂν ἐλευθέρα ἐγένετο ἡ ῾Ελλάς.“




Прощание воина. Роспись на аттическом стамносе, после 450 г.

9. ῏Ω Μενάνδρε καὶ βίε, πότερος ὑμῶν πότερον ἀπεμιμήσατο; 10. Μὴ ταῖς ἐσθῆσιν, ἀλλὰ τοῖς ἔργοις κρῖνε τοὺς ἀνθρώπους. Τοῖς μὲν γὰρ ὁ πλοῦτος, τοῖς δὲ ἡ ψυχὴ γιγνώσκεται.

11. Κόρινθος ἄστρον οὐκ ἄσημον[3] ῾Ελλάδος.

[1] *от* διηγέεται [2] τὸ στέρνον грудь [3] ἄσημος неизвестный

B 1. Πρὸ τοῦ πολέμου οἱ μὲν ᾿Αθηναῖοι στρατὸν ἤθροισαν, οἱ δὲ στρατιῶται ὡπλίσαντο ὡς βιασόμενοι τοὺς Πέρσας. 2. ῎Ηλπισαν γὰρ βιάσεσθαι τοὺς βαρβάρους. — 3. Αἱ ἐλπίδες τοὺς ἀνθρώπους πολλάκις ἔψευσαν. 4. Οἱ δικασταὶ τῶν ψευσαμένων οὐκ ἐφείσαντο. 5. Εἰ μὴ οἱ ὁπλῖται σπουδαίως ὡπλίσαντο, ῥᾳδίως ἂν οἱ ἐναντίοι αὐτοὺς ἐτραυμάτισαν. 6. ῾Ρᾳδίως τοὺς βουλομένους πείσεις, ὥστε αὐτοὺς πείσεσθαι. 7. Οἱ σφενδονῆται τῷ λοχαγῷ πείσονται. 8. ᾿Αχιλλεὺς ὑπὸ Φοίβου



Воин с копьем. Роспись на аттическом блюде, ок. 490 г.

πόδα τραυματίζεται. 9. Χάριν τοῖς φίλοις ἔχομεν, ὅτι ἐπαύσαντο τῆς ἔριδος. 10. Ἐκ παίδων[1] οἱ Πέρσαι ἐπαιδεύοντο μήποτε ψεύδεσθαι. 11. Τῷ στρατοπέδῳ τάφρος τριῶν[2] ποδῶν περιβάλλεται.

[1] a pueris [2] trium

18

A 1. Οἱ θῆρες τοὺς λέοντας ἐκπλήττονται διὰ τοὺς ὀδόντας καὶ ὄνυχας. 2. Οἶνος γερόντων γάλα. 3. Οὐκ ἀεὶ ἑκόντες οἱ δοῦλοι τοῖς δεσπόταις συνεστρατεύοντο. 4. Ὁ μὴ ἑκὼν τοῖς ἄρχουσι πειθόμενος οὐκ ἀγαθὸς πολίτης ἐστίν. 5. Δράκοντες καὶ λέουσι μάχονται. 6. Οἱ μαθηταὶ τὰς Ξενοφῶντος βίβλους ἀναγιγνώσκουσιν. 7. Ἐπ' Ἀδειμάντου ἄρχοντος Σιμωνίδης ἐνίκησεν ἀγῶνα μουσικόν. 8. Λέαινα[1] πρός τινα μεμφόμενον, ὅτι ἕνα μόνον παῖδα τίκτει· „Ἕνα“, ἔφη, „ἀλλὰ λέοντα“. 9. Μὴ πᾶσι πάντα πίστευε (ἐπίτρεπε). 10. Ἐν πάσῃ τῇ χώρᾳ μετὰ τὴν ἧτταν οἱ ἄνθρωποι ἐδάκρυσαν. 11. Σὺν θεῷ πᾶσα ὁδὸς εὔπορος. 12. Πάντων τῶν Γιγάντων οἱ θεοὶ περιεγένοντο. 13. Πάντες οἱ νεανίαι εἰς τὸ γυμνάσιον ἦλθον δίσκον ῥίψοντες. 14. Πάντα τὰ τῶν φίλων κοινά. 15. Ὁ δῆμος[2] Πόπλιον Κοΐντιλιον, Σέξτου υἱόν, Οὐᾶρον πάσης ἀρετῆς ἕνεκα.

16. Νόμῳ τὰ πάντα γίγνεται καὶ κρίνεται.
17. Ἅπαντα τίκτει χθὼν πάλιν τε λαμβάνει.

[1] ἡ λέαινα львица [2] *дополни:* ἐτίμησε

B 1. Μιλτιάδης στρατηγὸς ὢν τοὺς Πέρσας ἐνίκησεν. 2. Ἡρακλῆς ὀλίγων ἡμερῶν παῖς ὢν δύο δράκοντας ἐφόνευσεν. 3. Λητὼ τεκοῦσα Ἄρτεμιν καὶ Ἀπόλλωνα ἀπέλιπεν Δῆλον τὴν νῆσον. 4. Οἱ Ἀθηναῖοι ἐν Μαραθῶνι νικήσαντες τοὺς Πέρσας εἰς Ἀθήνας ἐπανῆλθον ὡς ἐκπλήξοντες τοὺς τῶν βαρβαρικῶν πλοίων ἄρχοντας. 5. Οἱ τοὺς Πέρσας νικήσαντες ὑπὸ πάντων τῶν Ἑλλήνων ἐθαυμάζοντο. 6. Ἀγαμέμνων Ἰφιγένειαν τῇ Ἀρτεμίδι καθιέρευσεν[1] οὐδενὸς κωλύοντος. 7. Καὶ ἀπόντας τοὺς φίλους εὖ λέγε. 8. Πλουσίων ὄντων τῶν Ἀθηναίων πολλοὶ ξένοι Ἀθήναζε ἐπορεύοντο. 9. Ὁ Κύκλωψ οὐκ ἐλεήσας τοὺς ναύτας καθ' ἡμέραν δύο αὐτῶν κατήσθιεν. 10. Παρουσῶν τῶν Εὐμενίδων (Ἐρινύων) Ὀρέστης φόβῳ ἐπιέζετο. 11. Διογένης ἰδὼν μυῖαν ἐπάνω[2] τῆς τραπέζης εἶπεν· „Καὶ Διογένης παρασίτους[3] τρέφει“. 12. Ὁ αὐτὸς πρὸς τὸν ἐντινάξαντα[4] αὐτῷ δοκόν, εἶτα εἰπόντα· „Φύλαξαι“, „Πάλιν γάρ με“, ἔφη, „παίσειν μέλλεις;“

[1] καθιερεύω приношу жертву [2] ἐπάνω на [3] ὁ παράσιτος нахлебник, парасит
[4] ἐντινάσσω τινί τι задеваю кого-л. чем-л. [5] ἡ δοκός бревно

• C Περὶ μάντεως σφαλλομένου

Μάντις ἐπ' ἀγορᾷ πολίταις τισὶ διελέγετο. Εἶτα ἐπῆλθέ τις ἀπαγγέλλων, ὅτι αἱ τῆς οἰκίας αὐτοῦ θύραι χάσκουσι[1] καὶ κλῶπες πάντα τὰ ἔνδον ὄντα ἔκλεψαν. Τότε δὴ ἀνεπήδησεν ὁ μάντις στενάξας[2] καὶ δρομαῖος[3] ἀπῆλθεν. Τρέχοντα δέ τις αὐτὸν θεασάμενος· „Οὗτος"[4], εἶπεν, „τἀλλότρια προειδέναι[5] ἐπαγγελλόμενος τὰ σαυτοῦ[6] οὐ προεμαντεύσω;"

[1] χάσκω зиять, быть открытым [2] στενάζω стонать [3] бегóм [4] эй ты!
[5] предвидеть [6] τὰ σαυτοῦ твое, твои дела *(возвр. мест.)*

19

A 1. Τὸ μὲν σῶμα κτῆμα πολλοῦ ἄξιον, πολὺ δὲ τιμιώτερον ἡ ψυχή. 2. Τιμιωτέρα ἡ ψυχὴ τοῦ σώματος. 3. Τῷ μὲν στόματι φθεγγόμεθα, τοῖς δ' ὄμμασι βλέπομεν, τοῖς δ' ὠσὶν ἀκούομεν. 4. Εἰ καὶ ἰσχυρότεροι οἱ θῆρες τῶν ἀνθρώπων εἰσίν, ὅμως οἱ ἄνθρωποι σοφώτεροι διὰ τὰ γράμματα καὶ τὰς τέχνας. 5. Ταῖς χερσὶ χρήματα ποριζόμεθα. 6. Πρὸ τοῦ ἀγάλματος τοῦ 'Απόλλωνος τοῦ ἐν Δελφοῖς λαμπρότατα ἦν ἀναθήματα. 7. Σοφὸς μὲν ἦν Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης, πάντων δὲ σοφώτατος Σωκράτης. 8. Μίνως ἅτε δικαιότατα δικάζων ἐν Ἅιδου δικαστὴς ἦν. 9. Ζεὺς τὸν Μίνωα ὡς εὖ δικάζοντα ἐν Ἅιδου δικαστὴν εἶναι ἐκέλευσεν. 10. Καὶ εἰ οἱ ἡμέτεροι στρατιῶται ἀνδρειότερον ἐμάχοντο, ὅμως οἱ πολέμιοι πολλοὶ ὄντες αὐτῶν περιεγένοντο.

B 1. 'Αλκιβιάδῃ ἀμελήσαντι τῶν πολιτῶν οἱ 'Αθηναῖοι πράγματα παρέχειν ἐβουλεύσαντο. 2. Τί τοῖς ἀγαθοῖς τῆς τῶν πολλῶν δόξης μέλει; 3. 'Επ' Εὐκλείδου ἄρχοντος οἱ 'Αθηναῖοι τὰ γράμματα μετήλλαξαν. 4. 'Εν μελαίνῃ νυκτὶ οἱ βάρβαροι ἐν ἅρμασι προσῆλθον. 5. 'Εν τῷ μέλανι πόντῳ 'Οδυσσεὺς δέκα ἐνιαυτοὺς περιήγετο. 6. Φειδίας τὸ Διός[1] ἄγαλμα τὸ ἐν 'Ολυμπίᾳ ἐποίησεν. 'Επίγραμμα δὴ ἦν ἐν τοῖς τοῦ θεοῦ ποσίν·

ΦΕΙΔΙΑΣ ΧΑΡΜΙΔΟΥ ΥΙΟΣ ΑΘΗΝΑΙΟΣ ΜΕΠΟΙΗΣΕ.

• 7. Θεμιστοκλῆς 'Ιέρωνα τὸν Συρακόσιον ἥκοντα εἰς 'Ολυμπίαν 'Ολυμπίων ἀγομένων ἵππους ἄγοντα ἐκώλυσε τοῦ ἀγῶνος εἰπὼν τὸν μὴ μεταλαβόντα τοῦ μεγίστου τῶν κινδύνων[2] τῶν 'Ολυμπιακῶν ἀγώνων μεταλαμβάνειν μὴ δεῖν.

[1] *gen. от* Ζεύς [2] *подразумеваются греко-персидские войны*

20

A

1. Παίδευσις 'Ελλάδος 'Αθῆναι. 2. Πολλοὶ φιλόσοφοι περὶ φύσεως βίβλους ἔγραψαν. 3. Ὦ ἄνδρες δικασταί, ὁμοίως τοῖς ὑμετέροις πατράσιν δικάζετε. 4. Ὦ

ἄνερ, θεράπευε τὴν μητέρα. 5. Ὦ πάτερ, σῶσον τὰς θυγατέρας. — 6. Πράξεις ἀποστόλων. 7. Ὀδυσσεὺς ἐν πολλῶν ἀνδρῶν πόλεσιν ὧν πολλοὺς ἄνδρας ἐγίγνωσκεν. 8. Ὦ πάτερ, μὴ πάρεχε τούτοις τοῖς κακοῖς ἀνδράσιν χρήματα. 9. Ἐν Ῥώμῃ οἱ ἄρχοντες πολῖται πατέρες ὠνομάζοντο. 10. Πασῶν τῶν πόλεων Ῥώμη ἐνδοξοτάτη.

B 1. Ὁ τύραννος, ὃς δίκαιός ἐστιν, νικήσει. 2. Ἡ πόλις, ἧς οἱ πολῖται ἀνδρεῖοι ἦσαν, διεφθείρετο. 3. Οἱ βάρβαροι τοῦ φρουρίου, ὃ ἐξεπολιόρκησαν, φείδονται. — 4. Κροῖσος ἐν ταῖς ἐσθῆσιν ἦν, ἐφ' αἷς τὸ πρὶν μέγα ἐφρόνησεν. 5. Πορευσόμεθα τὴν αὐτὴν ὁδόν, ἣν πρὸ ἡμῶν οἱ σύμμαχοι. 6. Καῖσαρ τοὺς αὐτοὺς ἄνδρας, οἳ πρότερον αὐτῷ ἐπολέμησαν, φίλους ἐποιήσατο. 7. Ἐν Ὀλυμπίᾳ τὴν τῶν στεφάνων δάφνην[1] ἐκόμιζον παῖδες, ὧν οἱ πατέρες καὶ αἱ μητέρες οὔπω ἀπέθανον. 8. Πόλεις, ὧν οἱ πολῖται θεοὺς μὴ θεραπεύουσι, ἀνόσιοι εἶναι λέγονται. 9. Αἱ πράξεις αἱ τούτων τῶν ἀνδρῶν, οὓς ἤρου, ἄδικοί εἰσιν. 10. Ἤρετο, ὅστις ἦλθεν. 11. Τοῦ ἀγγέλου ἀκούουσιν, οἵτινες οἱ πολέμιοί εἰσιν. 12. Οὐ πᾶσι τοῖς ἀνδράσι λέγω ὅ, τι βούλομαι (ἅτινα, ἅττα βούλομαι). 13. Ὅ, τι πάσχεις, θεόν σοι βοηθήσειν πίστευε. 14. Ἃ μὴ προσήκει, μήτε πρόσβλεπε μήτ' ἄκουε. 15. Ὅτῳ (= ᾧτινι) μηδὲν κακόν ἐστιν, τοῦτον ὀλβιώτατον λέγω. 16. Ὅστις τοὺς θεοὺς θεραπεύειν βούλεται, οὗτος τοὺς ἀνθρώπους οὐ βλάπτει.

[1] лавр

Περὶ Κροίσου



Крез на костре.
Аттическая амфора, ок. 500 г.

C 1. Κροῖσος, ὃς τῶν Λυδῶν ἐβασίλευεν, πλουσιώτερος ἦν πάντων τῶν τότε ἀνδρῶν. 2. Πολλὰ γὰρ χρήματα παρέλαβε παρὰ τοῦ πατρός, ἀνδρὸς δικαίου καὶ ἀνδρείου. 3. Ἐν δὲ τῇ Σάρδεων ἀκροπόλει ποτὲ (ἐν Σάρδεσίν ποτε) Σόλωνα φιλοξενώτατα δεξάμενος ἐπύθετο αὐτοῦ, εἰ μακαριώτερόν τινα ἄνδρα γιγνώσκει. 4. Σόλων δὲ μηδένα εἶπε πρὸ τοῦ θανάτου δεῖν μακαρίσαι. 5. Οἱ γὰρ πλούσιοι μὲν ὄντες, κακῶς δ' ἀποθνήσκοντες μάκαρες οὔκ εἰσιν. 6. Πολεμήσειν μέλλων ὕστερον τῷ Κύρῳ Κροῖσος τὴν ἐν Δελφοῖς μάντιν ἠρώτησεν, εἰ νικήσει (πότερον νικήσει ἢ οὔ).

7. ʽΗ δ' ἀνεῖλεν, ὅτι „Κροῖσος Ἅλυν διαβὰς[1] μεγάλην ἀρχὴν καταλύσει.“ 8. Τῇ οὖν ἀποκρίσει πιστεύων ἐπολέμησε τοῖς Πέρσαις. Οὗτοι δὲ τοὺς Λυδοὺς ἐνίκησαν, ὧν πολλὰς πόλεις εἷλον, καὶ Κροῖσον κατακαίειν παρεσκευάσαντο. 9. Κῦρος δ' ἰδὼν Κροῖσον ἐπὶ πυρᾷ καθεζόμενον ἐν λαμπραῖς ἐσθῆσιν καὶ ἀναστενάξαντα[2]· „ὦ Σόλων“, ἤρετο αὐτόν, τί φθέγγεται. 10. Τότε δὴ Κροῖσος αὐτῷ πάντα διηγησάμενος σῴζεται.

[1] Ἅλυς *река на восточной границе Лидии;* διαβάς *part.aor. от* διαβαίνω [2] *см. урок 18 С, примеч. 2*

21

A

I 1. Οἱ πολῖται ναῦς ᾠκοδόμησαν ἐν νεὼς οἴκοις. 2. Ναῦς τις ἔφερε μίαν βοῦν καὶ μίαν σῦν καὶ ἕνα ταῦρον. 3. Πᾶσαι αἱ νῆες κατάγονται πρὸς πέτρας καὶ διαφθείρονται. 4. Οἱ ἄνεμοι τῶν νεῶν οὐκ ἐφείσαντο. — 5. Ἐν ταῖς ναυσὶν οὔτε τοῖς βουσὶν οὔτε τοῖς ἵπποις ἱκανὸς τόπος ἦν. 6. Τοῖς τῶν Αἰγυπτίων θεοῖς βοῶν καὶ ταύρων καὶ κροκοδείλων σώματα ἦν. 7. Βόες καὶ ταῦροι ἐν τῇ νηὶ ἐνῆσαν. 8. Ἐν τῷ ἄστει τὸ ἐκ τοῦ Ὑμηττοῦ μέλι ἠσθίετο. 9. Φέρε τὸ μέλι εἰς τὸ ἄστυ.

II 1. Οἱ ταχεῖς οὐκ ἀεὶ ἀγαθοί. 2. Γλυκεῖς εἶναι τοὺς τῆς παιδείας καρποὺς οἱ Ἕλληνες ἔλεγον. 3. Βραχεῖά ἐστιν ἡδονὴ κακή. 4. Ὁ βίος ἔνδοξος οὐκ ἄνευ βαρέος πόνου. 5. Οἱ Ἀθηναῖοι ταχεῖς ὄντες ἡδέως τοῖς ῥήτορσιν ἐπείθοντο.

Περὶ τῆς ἐν Σαλαμῖνι ναυμαχίας

B 1. Μετὰ τὴν ἐν Μαραθῶνι νίκην Θεμιστοκλῆς τὴν ἄστεως ἰσχὺν ναυτικὴν ηὔξανεν. 2. Πολλὰς μὲν γὰρ ναῦς ταχείας κατασκευάσαι ἐκέλευσεν, πολλὰ δὲ καὶ πλοῖα βαρέα. — 3. Βαρέως φέρων, ὅτι Ἀριστείδης αὐτῷ ἀντέπραττε, τοῦ ὀστρακισμοῦ[1] αὐτοῦ αἴτιος ἐγένετο. 4. Ὥστ' ἐν βραχεῖ οἱ Ἀθηναῖοι οἷοί τ' ἦσαν ἀντιτάττεσθαι τῷ τῶν Περσῶν ναυτικῷ. 5. Ξέρξῃ δὲ τὰς ναῦς περὶ Σαλαμῖνα τὴν νῆσον ἀθροίσαντι Θεμιστοκλῆς ἔγραψεν ἄρξαι τῆς ναυμαχίας. 6. Οὗτος οὖν ἡγησάμενος περιέσεσθαι[2] τῶν Ἀθηναίων ὥρμησε σὺν πολλαῖς ναυσὶν ἐπ' αὐτούς. — 7. Πολὺν μὲν χρόνον ἠγωνίσαντο ἀμφότεροι, τέλος δ' οἱ Ἀθηναῖοι ἐνίκησαν. 8. Εἰ μὴ Αἰσχύλος καὶ Ἡρόδοτος διηγήσαντο, ὅπως ἡ ναυμαχία ἐγένετο, ἐλάνθανεν ἂν τοὺς νῦν ἀνθρώπους.

9. Ἀρχὴ ἥμισυ παντός. — 10. Βόες καὶ σύες καὶ ἰχθύες ζῷά ἐστιν. — Βοῦς, σῦς, ἰχθῦς ζῷα ὀνομάζομεν. — Βοῶν, συῶν, ἰχθύων ἡδέως ἐσθίομεν. 11. Τοῖς πρώτοις Χριστιανοῖς ΙΧΘΥΣ ἱερὸν σημεῖον ἦν· ἐσήμαινε γὰρ τὸ ἰχθύος ὄνομα· Ἰησοῦς Χριστὸς Θεοῦ Υἱὸς Σωτήρ. 12. Σπεῦδε βραδέως.

13. ᾿Ανταλκίδας πρὸς τὸν ἐρωτήσαντα, διὰ τί Λακεδαιμόνιοι ἐγχειριδίοις[3] βραχέσι μάχονται· „Διότι“, εἶπεν, „πλησίον τοῖς πολεμίοις μαχόμεθα.“

[1] ὁ ὀστρακισμός остракизм [2] *fut. om* περιεῖναι [3] τὸ ἐγ-χειρ-ίδιον **короткий меч, кинжал,** *также* **учебник**

22

A


1. ῾Ο γεωργὸς ἐφύτευσε δένδρον.	ἐφυτεύσατο τὸν ἀγρόν.	Τὸ δένδρον ὑπὸ τοῦ γεωργοῦ ἐφυτεύθη.
2. ῾Ο γεωργὸς φυτεύσας δένδρον ἀπέρχεται.	φυτευσάμενος τὸν ἀγρὸν ἀπέρχεται.	῾Ο ἀγρὸς ὁ φυτευθεὶς / ῾Η πίτυς ἡ φυτευθεῖσα / Τὸ δένδρον τὸ φυτευθὲν } αὐξάνεται[1].

3. ῏Ω βασιλεῦ καὶ ἱερεῦ, πορεύθητε πρὸς ᾿Αχιλλέα. 4. ῏Αρ᾿ ἐφοβήθης τοὺς ἱππέας; Οὐκ ἐφοβήθην. 5. ῞Ελλην τις βασιλεῖ δι᾿ ἑρμηνέως διαλέγεται. 6. Μετὰ πολλῶν ἱππέων ἐπορεύθημεν ἐκ τῆς πατρίδος τοῖς νικηθεῖσι φίλοις βοηθήσοντες. 7. Τιμηθήτω τὸ ὄνομα τοῦ θεοῦ. 8. Ζημιωθεισῶν τῶν Δαναοῦ θυγατέρων μία μόνη[2] ἐσώθη (от σῴζω).

[1] растет [2] μόνος, η, ον один, единственный

Περὶ Θησέως

B 1. Θησεὺς ὁ Αἰγέως σπουδαίως ἐπαιδεύθη ἐν Τροιζῆνι. 2. Σχεδὸν δὲ παῖς ἔτι ὢν ἐπορεύθη εἰς ᾿Αθήνας πρὸς τὸν πατέρα. 3. Πολλοὶ τότε κακοῦργοι νικηθέντες ὑπ᾿ αὐτοῦ ἐζημιώθησαν. 4. Ζημιωθέντων δὲ τῶν κακούργων ὁ βασιλεὺς



Парусное судно.
Аттическая ваза, ок. 540 г.



Прибытие корабля Тесея. Ваза Франсуа, ок. 570 г.

τὸν Θησέα ἔπεμψεν εἰς Κρήτην μεθ' ἑπτὰ παρθένων καὶ ἑπτὰ νεανιῶν 'Αθηναίων. 5. Αἰγεὺς μὲν ἔπεμψεν αὐτοὺς ὡς φονευθησομένους ὑπὸ τοῦ Μινωταύρου, Θησεὺς δὲ τοῖς γονεῦσιν ὑπέσχετο τοὺς παῖδας μὴ φονευθήσεσθαι. 6. Καὶ οἱ γονῆς (γονεῖς) τῷ Θησεῖ ἐπίστευον. 7. 'Εκ Πειραιῶς οὖν περαιωθέντες διὰ τῆς θαλάττης ἀφίκοντο εἰς Κρήτην πρὸς τὸν βασιλέα Μίνωα, ὃς εἰς τὸν λαβύρινθον αὐτοὺς εἰσέπεμψεν. 8. 'Εκεῖ δ' ὁ Θησεὺς τὸν Μινώταυρον ἰδὼν „Φοβήθητι", ἔφη, „τὸν Θησέα" καὶ κατέσφαξεν αὐτόν. 9. Θησεὺς δὴ διὰ τὸ μὴ φοβηθῆναι τὸν κίνδυνον ἐνδοξότατος ἐγένετο ἀνὰ πᾶσαν τὴν 'Ελλάδα.

C Περὶ 'Ιστιαίου

'Ιστιαῖος Μιλήσιος παρὰ Δαρείῳ διῆγεν. Βουλόμενος δὲ τὸν 'Αρισταγόραν ἀποστῆσαι[1] τὴν 'Ιωνίαν γράμματα πέμπειν οὐκ ἤθελε διὰ τοὺς φύλακας τοὺς τῶν ὁδῶν. Δοῦλον ἄρα πιστὸν ἀποξυρήσας[2] τὰς τρίχας ἐνέγραψε τῇ κεφαλῇ· „'Ιστιαῖος 'Αρισταγόρα· 'Ιωνίαν ἀπόστησον." 'Ενίοις δὲ μησὶν ὕστερον, ὅτε αὖθις ἐγένετο τὸ τρίχωμα[3], ὁ δοῦλος λαθὼν τοὺς φύλακας εἰς 'Ιωνίαν πορευθεὶς ἔδειξε[4] τὴν κεφαλὴν 'Αρισταγόρα. Οὗτος αὖθις ξυρήσας εἶδε τὰ γράμματα καὶ ἀπέστησε τὴν 'Ιωνίαν.

[1] ἀποστῆσαι *aor.* покидать, оставлять [2] (ἀπο)ξυρέω брить [3] τὸ τρίχωμα волосы
[4] δεῖξαι *aor.* показать

23

Περὶ Νιόβης

A 1. Ἔνδοξον μὲν ἦν τὸ τοῦ Ταντάλου γένος, ἐνδοξοτάτη δὲ Νιόβη, ἡ τοῦ Ταντάλου θυγάτηρ, διὰ τὸ κάλλος. 2. 'Αμφίων δ', ὁ τῶν Θηβαίων καί τινων ἄλλων ἐθνῶν βασιλεύς, ἄγεται αὐτὴν γυναῖκα τοῦ κάλλους ἕνεκα καὶ τοῦ Ταντάλου κλέους. 3. Πολλὰ οὖν ἔτη 'Αμφίων καὶ Νιόβη ἐβασίλευον πλούσιοι ὄντες καὶ ἑπτὰ



Аполлон и Артемида убивают детей Ниобы.
Аттический кратер, ок. 450 г.

υἱοὺς καὶ ἑπτὰ θυγατέρας ἔχοντες. 4. Νιόβη δὴ μέγα φρονήσασα ἐπὶ τῷ τῆς εὐτυχίας μεγέθει ἀνοσίοις ἔπεσι τὴν Λητὼ ὠνείδισε διὰ τὸ δύο μόνον παῖδας ἔχειν, Ἀπόλλωνά τε καὶ Ἄρτεμιν. 5. Γυμναζομένους δέ ποτε τοὺς υἱοὺς πρὸ τῶν τειχῶν Ἀπόλλων μὲν κατετόξευσεν, κατετοξεύθησαν δὲ καὶ αἱ παρθένοι ὑπ' Ἀρτέμιδος. 6. Νιόβη δὲ τέλος μεταβάλλεται εἰς πέτραν καὶ φέρεται εἰς τὸν Σίπυλον τὸ ὄρος, ἔνθ' οὐ παύσεται δακρύουσα.
7. Ἦθος ἀνθρώπῳ δαίμων. 8. Ἦν ποτε χρόνος, ὅτε θεοὶ μὲν ἦσαν, θνητὰ δὲ γένη οὐκ ἦν. 9. Ἀνταλκίδας τείχη ἔλεγεν εἶναι τῆς Σπάρτης τοὺς νέους, ὅρια δὲ τὰ δόρατα.

B 1. Ἀεὶ οἱ ἄνθρωποι περὶ Σοφοκλέους, τοῦ εὐσεβοῦς καὶ εὐγενοῦς ποιητοῦ, λόγους ποιήσονται. 2. Περικλεῖ οἱ Ἀθηναῖοι οὐκ ἀεὶ χάριν εἶχον. 3. Ἡρακλέα διὰ τὸ πολλοὺς ἀγῶνας νικῆσαι οἱ θεοὶ εἰς Ὄλυμπον ἐδέξαντο. 4. Σόλων ἐπὶ γήρως ὀδῷ[1] ἤδη ὢν ἐρωτηθείς, τίνι πιστεύων μόνος ἐναντιοῦται[2] Πεισιστράτῳ, ἔφη· „τῷ γήρᾳ.“ 5. Ὦ Ἡράκλεις, εὐκλεᾶ ἔργα ἔπραξας.

6. Καλῶς φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ.
7. Πρὸς τὴν ἀνάγκην πάντα τἄλλ'[3] ἐστ' ἀσθενῆ.
8. Οὐδεὶς μετ' ὀργῆς ἀσφαλῶς βουλεύεται.

[1] ὁ ὀδός порог [2] = ἐναντιόεται сопротивляться [3] = τὰ ἄλλα

C **Περὶ Δημοσθένους**

1. Δημοσθένης Ἀθηναῖος ῥήτωρ ἐπιφανὴς ἦν. 2. Νεανίας δ' ὢν ἀσθενὲς μὲν εἶχε τὸ σῶμα καὶ ἀσθενῆ φωνήν, ἐγυμνάζετο δὲ οὕτως ἀκριβῶς, ὥστε καὶ οἱ δυσμενεῖς ὡμολόγησαν αὐτὸν ἄριστα λέγειν. 3. Ὃ οὐ ῥᾴδιον ἦν τῷ Δημοσθένει τῆς Ἑλλάδος τότε πλήρους οὔσης ἀγαθῶν ῥητόρων. 4. Εὐπρεπέσι δὴ λόγοις

Δημοσθένη ἀληθῶς πολεμῆσαι Φιλίππῳ τῷ Μακεδόνι καὶ οἱ ὕστερον ἔλεγον. 5. Ἀλλ' οὐκ ἐν ἡσυχίᾳ γῆρας ἦγεν οὐδ'[1] εὐτυχοῦς τελευτῆς ἔτυχεν.

6. Εἴπερ[2] ἴσην γνώμῃ ῥώμην, Δημόσθενες, εἶχες,
οὔποτ' ἂν Ἑλλήνων ἦρχεν Ἄρης Μακεδών.

[1] **οὐδέ neque** [2] ***om* εἰ, если в самом деле, если только**

24

A

1. Ὁ πατὴρ φροντίζει μου.	Φροντίζω ἐμαυτοῦ (ἐμαυτῆς).
2. Οἱ υἱεῖς ἐβοήθησάν σοι.	Βοήθησον σεαυτῷ (σεαυτῇ, σαυτῷ, σαυτῇ).
3. Ὁ ἐχθρὸς βλάπτει αὐτόν.	Ὁ ἐχθρὸς βλάπτει ἑαυτόν (αὑτόν).
4. Ὁ ἐχθρὸς βλάπτει αὐτήν.	Ἡ παρθένος βλάπτει ἑαυτήν (αὑτήν).
5. Ἡ μήτηρ φροντίζει ἡμῶν.	Φροντίζομεν ἡμῶν αὐτῶν.
6. Βοηθήσω ὑμῖν.	Βοηθήσετε ὑμῖν αὐτοῖς (αὐταῖς).
7. Ὁ βασιλεὺς ἔβλαψεν αὐτούς.	Αἱ γυναῖκες ἔβλαψαν ἑαυτάς (σφᾶς αὐτάς).
8. Ἔλεξαν, ὅτι ἔπεμψε σφᾶς (ἑαυτούς, αὑτοὺς) ὁ βασιλεύς.	

B

Περσεὺς καὶ Ἀνδρομέδη διαλέγονται

1. Περσεὺς ὁ Διὸς καὶ Δανάης παῖς τὴν τῆς Γοργοῦς κεφαλὴν ἀποκόψας εἰς Αἰθίοπας ἐλθὼν Ἀνδρομέδην ηὗρεν ἐν δεσμοῖς οὖσαν καὶ ὧδε διελέγετο αὐτῇ·

2. Π. Ὦ γύναι, τίς σε τῇ πέτρᾳ προσέδησεν;

3. Α. Ἀλλ' ὁ πατήρ μου κελεύσαντος τοῦ Ποσειδῶνός μ' ἔδησεν.

4. Π. Νὴ τὸν Δία, οὐδὲν σύ γε φαίνῃ ἀδικήσασ' οὐδένα.

5. Α. Οὐ μὰ Δί', ἔγωγε. — Ἀλλὰ διήγησαί μοι, πόθεν πρὸς ἐμὲ διὰ τοῦ ὕδατος ἥκεις.



Персей, отрубивший голову Горгоне. Аттическая гидрия, ок. 480 г.

6. Π. Ἄκουε δή· ἐπεί μ' ἡ μήτηρ ἔτεκεν, ὁ πάππος αὐτὴν μετ' ἐμοῦ βαλὼν εἰς λάρνακα[1] ἔρριψεν εἰς τὸ πέλαγος καὶ ᾤχετο ἀπελθών.

7. Α. Αἰαῖ[2], φεῦ[3] τοῦ ἀνδρός.

8. Π. Τὰ μὲν ὕδατα ἔφερεν ἡμᾶς πολὺν χρόνον, τέλος δ' ἐτύχομεν καταχθέντες[4] εἰς Σέριφον τὴν νῆσον, ἔνθα ἀνατρεφόμενος ἐπαιδεύθην. Ὕστερον δ' ἄλλα

τε πολλὰ ἠρίστευσα καὶ κατέσφαξα τὴν Γοργώ. Νῦν δὲ πάρειμι ὡς σώσων σε. Ἀκολούθησον δή μοι καὶ σώσεις σεαυτήν.

9. Α. Ὦ Ζεῦ καὶ Πόσειδον καὶ Ἄπολλον καὶ θεοὶ πάντες καὶ πᾶσαι, παράσχεθ' ἡμῖν φυγοῦσι λαθεῖν τοὺς ἐχθρούς. Φόβον γὰρ ἔχω τῶν ἐμαυτῆς πολιτῶν. Σοῦ δὲ γονάτων, ὦ Περσεῦ, ἅπτομαι ἱκετεύουσα, σοὶ γὰρ ἐπιτρέπω ἐμαυτήν.

10. Καὶ Περσεὺς ἔσωσεν αὐτὴν ἀξόμενος γυναῖκα.

[1] ἡ λάρναξ, -κος ящик, ларец [2] о! [3] ах! [4] *aor.pass.* κατάγω привожу к берегу

C 1. Αἰσχύλος τοὺς Ἑπτὰ ἐπὶ Θήβας ἔγραψεν, δρᾶμ' Ἄρεως μεστόν. 2. Οἱ σφᾶς αὐτοὺς στέργοντες ἐχθαίρονται ὑπὸ πολλῶν. 3. Ἐν ἐμαυτῷ περιφέρω τὴν οὐσίαν (изречение Бианта). 4. Κύνες πολλάκις ἀνθρώπους σῴζουσιν.

5. Ἐλεύθερον φύλαττε τὸν σαυτοῦ τρόπον.
6. Ἄλλων ἔπαινον μᾶλλον ἢ σαυτοῦ λέγε.
7. Βούλου δ' ἀρέσκειν πᾶσι, μὴ σαυτῷ μόνον.
8. Γνῶθι[1] σεαυτόν.

[1] познай

25

A 1. Ἡδὺ μὲν πλούσιον εἶναι, ἥδιον δὲ ὑγιαίνειν, ἥδιστον δὲ καλὸν κἀγαθὸν εἶναι. 2. Οἶμαι τὴν ἐμαυτοῦ γυναῖκα πασῶν σωφρονεστάτην εἶναι τῶν ἐν τῇ πόλει. 3. Αἰσχρὸν μέν ἐστι κακίω (κακίονα) γίγνεσθαι τῶν δούλων, αἴσχιον δὲ τῶν προδοτῶν. 4. Ταχεῖς μὲν οἱ πόδες, θάττους δ' οἱ ἄνεμοι, ταχίστη δ' ἡ διάνοια. 5. Οἱ Πέρσαι περὶ μὲν πολλοῦ ἐποιήσαντο τὸ ἱππεύειν, περὶ δὲ πλείονος (πλέονος) τὸ τοξεύειν, τὸ δ' ἀληθεύειν περὶ πλείστου. 6. Οὐδὲν ἐλευθερίας γλυκύτερον. 7. Ἡ Ῥόδος πολὺ μείζων ἐστὶ τῆς Σαλαμῖνος, πολὺ δὲ μείων τῆς Σικελίας. 8. Κῦρος τοὺς βαρβάρους χείρονας (χείρους) ἐνόμιζε τῶν Ἑλλήνων. 9. Ἀλέξανδρος ἔτι παῖς ὢν πάντων κράτιστος ἐνομίζετο. 10. Κῦρος ὑποσχόμενός τινί τι ἥκιστα ἐψεύδετο. 11. Ἡρακλῆς οὐδένα κρείττω ἑαυτοῦ εἶδεν. 12. Ἐλάττω (или μείω) κακὰ πάσχουσιν οἱ ἄνθρωποι πολλάκις ὑπὸ τῶν ἐχθρῶν ἢ ὑπὸ τῶν φίλων.

13. Τὸν γὰρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει.
14. Βουλῆς γάρ ἐστιν οὐδὲν ἔχθιον κακῆς.
15. Τί γὰρ πατρῴας ἀνδρὶ φίλτερον χθονός;
16. Ἢ λέγε τι σιγῆς κρεῖττον ἢ σιγὴν ἔχε.

B Вопросы и ответы

(Изречения семи мудрецов)

Τί πρεσβύτατον; Θεός, ἀγένητον γάρ.
Τί κάλλιστον; Κόσμος· ποίημα γὰρ θεοῦ.
Τί μέγιστον; Τόπος· ἅπαντα γὰρ χωρεῖ.
Τί σοφώτατον; Χρόνος· ἀνευρίσκει[1] γὰρ πάντα.
Τί ἰσχυρότατον; Ἀνάγκη· κρατεῖ[2] γὰρ πάντων.

[1] отыскивать [2] *от* κρατέει

26

A

1. Τί πράττετε; Γράφομεν.	Τί πράττωμεν; Γράφωμεν.
2. Πότε διαλεξόμεθα τοῖς ἰατροῖς;	Ἀρχώμεθα αὐτίκα νῦν· μὴ μέλλωμεν.
3. Πολλάκις λούῃ, ὥστε ὑγιαίνεις.	Πολλάκις λούῃ, ἵνα ὑγιαίνῃς.
4. a) Τί λέγω;	Τί λέγω; Οὐκ ἔχω, τί λέγω.
b) Τί λέγομεν;	Τί λέγωμεν; Οὐκ ἔχομεν, τί λέγωμεν.

B 1. Οἱ γονεῖς τοὺς παῖδας παιδεύουσιν, ἵνα σωφρονέστεροι γίγνωνται. 2. Κατακαίωμεν τὰ πλοῖα, ἵνα μὴ Κῦρος διαβαίνῃ τὸν ποταμόν. 3. Φυλάττεσθε τοὺς κακούργους, ἵνα μὴ κακίους γένησθε αὐτῶν. 4. Οἱ γονῆς ὑμᾶς παιδεύουσιν, (ἵνα) μὴ κακίους γίγνησθε ἑαυτῶν (σφῶν αὐτῶν, αὑτῶν). 5. Φόβος μ' ἔχει, μὴ ψεύδωμαι. Φόβος μ' ἔχει, μὴ οὐ τἀληθῆ λέγῃς. 6. Οἱ ποιμένες τὰ πρόβατα φυλάττουσιν, μὴ ὁ λύκος αὐτὰ κατεσθίῃ. 7. Οἱ πρέσβεις λέγουσιν, ὅτι πέμπει σφᾶς (αὐτούς, ἑαυτοὺς) βασιλεύς.

8. Μὴ σπεῦδε πλουτεῖν, μὴ ταχέως πένης γένῃ.



Урок игры на лире и урок декламации.
Рисунок на аттическом блюде, ок. 485 г.

C 1. Στρατόνικος ὁ κιθαρῳδὸς ἐν Τειχιούσσῃ[1] ὡς εἶδε πάντας τοὺς τάφους ξενικοὺς ὄντας· „Ἀπέλθωμεν“, ἔφη, „ὦ παῖ· ἐνταῦθα γὰρ οἱ ξένοι φαίνονται ἀποθνῄσκειν, τῶν δ' ἀστῶν οὐδείς.“ 2. Μέμνων ὁ Δαρείου στρατηγὸς στρατιώτην τινά, ὅς ποτε Ἀλέξανδρον κακῶς ἔλεγε, τῇ λόγχῃ ἔπαισε καί· „Μισθὸν λαμβάνεις“, ἔφη, „ἵνα μάχῃ Ἀλεξάνδρῳ, οὐχ ἵνα κακῶς λέγῃς αὐτόν.“ 3. Ἀλκιβιάδης ὄντος κυνὸς αὐτῷ θαυμαστοῦ τὸ μέγεθος καὶ τὸ εἶδος ἔκοψε τὴν οὐρὰν[2] καλλίστην οὖσαν. Λεγόντων δὲ τῶν συνήθων, ὅτι πάντες ἐπὶ τῷ κυνὶ δάκνονται[3], ἐπιγελάσας[4]· „Γίγνεται τοίνυν“, εἶπεν, „ὃ βούλομαι· βούλομαι γὰρ Ἀθηναίους τοῦτο λέγειν, ἵνα μή τι κάκιον περὶ ἐμοῦ λέγωσιν.“

[1] *предместье Милета* [2] хвост [3] δάκνω кусаю; δάκνομαι ἐπί τινι я огорчен чем-л. [4] ἐπι-γελάσαι смеяться, насмехаться над чем-л.

27

A 1. Ὁ ῥήτωρ ἡδέα λέγει, ἵνα μὴ

αὐτὸν βλάψωμεν μηδὲ μεμψώμεθα.	αὐτὸν βλάψητε μηδὲ μέμψησθε.

2. Ὁ διδάσκαλος ἤρετο τόδε· Ποῦ ἐστιν ἡ Ἑλλὰς ἐν τῷ πίνακι[1]; 3. Ἥδε ἡ χώρα ἐστὶν Ἑλλάς. 4. Μετὰ ταῦτα ὁ μαθητὴς ἐσιώπησεν. 5. Βουλεύομαι, τί ποιήσω. 6. Ἐὰν ἡμῖν πέμψῃς οἶνον, ἡ ἡδονὴ μεγάλη ἔσται. 7. Ὅταν νικήσωμεν, πάντα τὰ τῶν βαρβάρων ὑμέτερα ἔσται.

Περὶ Ἰφιγενείας τῆς ἐν Αὐλίδι

B 1. Οἱ ἐν Αὐλίδι Ἕλληνες Κάλχαντι τῷ μάντει τάδε εἶπον· 2. „Ἡμεῖς οἱ Ἕλληνες εἰς Τροίαν πορευσόμενοι ἐν τῷδε τῷ λιμένι ἀναμένομεν, ἔστ' ἂν οἱ θεοὶ καλοὺς ἀνέμους πέμψωσιν.“ 3. „Ἐάν“, ἣ δ' ὅς, „βοηθήσωσιν οἱ θεοί, ῥᾳδίως ἀφίξεσθε εἰς τὴν Ἀσίαν.“ 4. Ἐν ταύτῃ οὖν τῇ ἀπορίᾳ Ἀγαμέμνων τὸν μάντιν ἤρετο· „Τί (βούλει) πράξω, ὦ γέρον; 5. Ὃ ἂν μοι συμβουλεύσῃς, ἑκὼν ποιήσω.“ 6. Οὗτος δὲ τήνδε τὴν βουλὴν συνεβούλεσε τῷ βασιλεῖ· 7. „Ἐὰν Ἰφιγένειαν ἐπὶ τῷ τῆς Ἀρτέμιδος βωμῷ θύσῃς, ἡ θεὸς τῆς ὀργῆς, ἣν πρὸς σὲ ἔχει, παύσεται. 8. Μὴ οὖν φείσῃ τῆς θυγατρός, ἀλλὰ κατάσφαξον αὐτήν.“ 9. Ἀγαμέμνων δὴ μεταπεμψάμενος ἐκείνην τῷδε τῷ τρόπῳ (= ὧδε) ηὔξατο τῇ Ἀρτέμιδι· 10. „Ὦ Ἄρτεμι, ἐὰν μὲν δυνατὸν ᾖ[2] (= ἐξῇ), μή μ' ἀφέλῃ τὴν παρθένον, ἐὰν δὲ μή, σῶσον ἐκείνην καὶ κόμισον, ὅποι ἂν βούλῃ.“ 11. Καὶ Ἰφιγένεια δείσασα, μὴ φοβερόν τι αὐτῇ (τί οἱ) γένηται, καὶ αὐτὴ ηὔξατο· 12. „Ὦ Λητοῦς παῖ, οὐκ ἔχουσα, ὅπῃ φύγω, ἱκετεύω σε σῶσαί με.“ 13. Ἡ δ' Ἄρτεμις αὐτῇ· „Μὴ δείσῃς,“ ἔφη, „ὦ Ἰφιγένεια.“ 14. Ταῦτ' εἰποῦσα νεφέλῃ καλύψασα αὐτὴν καὶ ἔλαφον ἀντ' αὐτῆς εἰς τὸν βωμὸν βαλοῦσα ἀποφέρει τὴν παῖδα εἰς Ταύρους. 15. Πᾶν τοῦτο τὸ γενόμενον ἐν τῇ Εὐριπίδου τραγῳδίᾳ ἔστιν ἰδεῖν, ᾗ τὸ ὄνομα Ἰφιγένεια ἡ ἐν Αὐλίδι.

16. ῾Ο σοφὸς πολιτεύσεται, ἂν μή τι κωλύῃ. 17. Πύρρος ἐρωτηθεὶς ὑφ᾽ ἑνὸς τῶν νέων ἔτι παιδὸς ὄντος, τίνι καταλείψει[3] τὴν βασιλείαν, λέγεται εἰπεῖν· „῞Ος ἂν ὑμῶν τὴν μάχαιραν ὀξυτέραν ἔχῃ.“

[1] ὁ πίναξ, -κος доска, карта [2] coni. от ἐστίν [3] καταλείπω оставляю

28

A

I 1. Εὔξασθε τῇ ᾽Αθηνᾷ καὶ τῷ ῾Ερμῇ. ᾽Αθηνᾶ καὶ ῾Ερμῆς δεινοί εἰσιν ὑμῖν ἀμύνειν. 2. ᾽Εν οὖν τοῖς τῆς ᾽Αθηνᾶς καὶ τοῦ ῾Ερμοῦ βωμοῖς θύσατε, ἵνα ἵλεῳ ὦσιν[1]. 3. Οἱ ποιηταὶ τὴν μὲν ᾽Αφροδίτην χρυσῆν ὠνόμαζον, τὴν δὲ Σελήνην ἀργυρᾶν. 4. Χρυσαῖ κόρυθες καὶ χαλκοῖ τρίποδες[2] καὶ ἀργυρᾶ ὅπλα ἐν τῷ νεῴ ἦν, οἷς ᾽Αθηνᾶ ἔχαιρεν. 5. ᾽Εν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. 6. ῾Ο διὰ Σκύλλης καὶ Χαρύβδεως πλοῦς ἐπικινδυνότερος ἦν τοῦ πλοῦ τοῦ διὰ τοῦ Βοσπόρου. 7. Τὰ ἄνοα τέκνα ἁπλᾶ ἔθη ἔχει. 8. ῞Αμ᾽ ἕῳ (= ὑπὸ τὴν ἕω) τὰ ὀστᾶ τὰ τῶν τεθνηκότων[3] θάπτεται[4]. 9. ᾽Αργυραῖς λόγχαις μάχου καὶ πάντων κρατήσεις.

II 1. ῾Ο νοῦς ὁ ἐν ἡμῖν ἄξιός ἐστι θαυμάζεσθαι, ὅτι μέγιστόν ἐστιν ἐν ἐλαχίστῳ. 2. ῾Η μνᾶ πολὺ (πολλῷ) πλέονος ἀξία ἦν τῆς δραχμῆς. 3. Χρυσοῦν μὲν ἄγαλμα ἄμεινόν ἐστι σιδηροῦ, σιδηρᾶ δὲ μάχαιρα κρείττων ἀργυρᾶς. 4. ᾽Ενίοθ᾽ οἱ σοφισταὶ ἤθελον τὸν ἥττω λόγον κρείττω ποιεῖν[5]. 5. Τηλεμάχῳ οἱ εὖνοι νομεῖς οὐ χείρους ἐφαίνοντο τῶν ἐλευθέρων ᾽Ιθακησίων. 6. Οἱ γονῆς τοὺς παῖδας ἄριστα παιδεύουσιν, ἵνα ὡς βέλτιστοι γένωνται. 7. Πολλῷ ῥᾷόν ἐστιν ἄλλους μέμφεσθαι ἢ περιγίγνεσθαι αὐτῶν.


Гермес.
Аттический сосуд, ок. 500 г.

8. ῾Απλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ[6].
9. ᾽Αεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν.
10. Μακάριος, ὅστις οὐσίαν καὶ νοῦν ἔχει.

[1] coni. от εἰσίν [2] ὁ τρίπους треножник [3] τεθνηκώς, -κότος умерший [4] θάπτω хороню [5] от ποιέειν [6] являться, быть каким-л. по природе

B 1. Τίς δὲ βίος, τί δὲ τερπνὸν[1] ἄτερ[2] χρυσῆς ᾽Αφροδίτης;
(стих поэта Мимнерма, ок. 600 г. до н.э.)

2. ΒΑΣΙΛΕΥΣ ΕΥΜΕΝΗΣ ΑΘΗΝΑΙ ΝΙΚΗΦΟΡΩΙ
(надпись на одном из храмов в Пергаме)

3. Παιδάρητος Λακεδαιμόνιος λέγοντός τινος, ὅτι πολλοί εἰσιν οἱ πολέμιοι· „Οὐκοῦν“, ἔφη, „ἡμεῖς εὐκλεέστεροι ἐσόμεθα· Πλείους γὰρ νικήσομεν.“

4. ᾿Αλέξανδρος θεασάμενος τὴν ἐν ᾿Εφέσῳ ἑαυτοῦ εἰκόνα, ἣν ᾿Απελλῆς ἔγραψεν, οὐκ ηὐλόγησε[3] κατὰ τὴν ἀξίαν[4] τοῦ γράμματος. Εἰσελθόντος δὲ ἵππου καὶ χρεμετίσαντος[5] πρὸς τὸν ἵππον τὸν ἐν τῇ εἰκόνι ὡς πρὸς ἀληθινόν· „῏Ω βασιλεῦ“, εἶπεν ὁ ᾿Απελλῆς, „ἀλλ᾿ ὅ γε ἵππος φαίνεταί σου πολὺ γραφικώτερος[6] εἶναι.“

[1] τερπνός приятный [2] ἄτερ *c gen.* без [3] εὐλογέω оценивать [4] по достоинству [5] χρεμετίζειν ржать [6] γραφικός относящийся к живописи, искусный в живописи

29

Αἰσχύλου ῾Ικέτιδες[1]

A 1. ᾿Εν τῇ Αἰσχύλου τραγῳδίᾳ, ᾗ ὄνομά ἐστιν ῾Ικέτιδες, ὁ χορὸς τῶν Δανάου θυγατέρων σωθεισῶν ὑπὸ τῶν ᾿Αργείων τοιάδε λέγει· 2. „ ῎Αγε δή, λέξωμεν εὐχὰς ἀγαθὰς ὑπὲρ τῶν ᾿Αργείων. 3. ᾿Ακούοιτε ἡμῶν, ὦ θεοί. 4. Μηδέποτ᾿ ῎Αρης πόλεμον πέμποι τῇδε τῇ πόλει. 5. Μήποτε νόσος κακὴ αὐτὴν βλάπτοι. 6. Μὴ οἱ πολῖται πολλὰς μάχας μάχοιντο μηδ᾿ ἐν πολέμοις ἀποθνῄσκοιεν. 7. ᾿Αμύνοις δ᾿, ὦ ῎Αρτεμι, ταῖς γυναιξὶ καὶ φείδοιο τῶν παιδίων. 8. Παντὸς δ᾿ ἀγαθοῦ τύχοιεν οἱ ᾿Αργεῖοι παρὰ τῶν δαιμόνων. 9. Καὶ γένοιντο αὐτοῖς ἀοιδοί τε καὶ ποιηταί. 10. ᾿Αεὶ δ᾿ ὑμεῖς, ὦ ῎Αργους πολῖται, εὔχοισθε τῷ Διὶ καὶ θύοιτε πᾶσι τοῖς θεοῖς. 11. Εἴθ᾿ οὖν τοῖς ἀθανάτοις ἀρέσκοντα εἴποιμι καὶ εἰ γὰρ ἐξικοίμην τῆς εὐνοίας αὐτῶν. 12. Εἰ γάρ μου ἀκούοιεν οἱ θεοὶ καὶ οὕτως γενοίμην εὐτυχής.“

[1] просительницы

B 1. Θεῶν μου ἀκουόντων γενοίμην ἂν εὐτυχής. 2. ῾Ο μὲν ἀγαθὸς ἀνὴρ γένοιτ᾿ ἄν ποτε κακός, ὁ δὲ κακὸς ἀνὴρ οὐκ ἄν ποτε γένοιτο κακός· ἔστι γὰρ ἀεί. 3. Εἴ τις ἡμᾶς ἔροιτο, ὅ,τί ἐστιν ἡ φιλοσοφία, τί ἂν αὐτῷ εἴποιμεν; 4. Πάντες οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλέως θύραις παιδεύονται· ἔνθα δὴ πολλὴν μὲν σωφροσύνην καταμάθοι ἄν τις, αἰσχρὸν δ᾿ οὐδὲν οὔτ᾿ ἀκοῦσαι οὔτ᾿ ἰδεῖν ἔστιν. 5. Εἰ βουλοίμεθα τὸν παῖδα τόνδε ἀγαθὸν ἰατρὸν γενέσθαι, παρὰ τίνας ἂν αὐτὸν πέμποιμεν διδασκάλους; 6. Εἰ ἀναγκαῖον γένοιτο ἀδικεῖν ἢ ἀδικεῖσθαι[1], ἑλοίμην ἂν μᾶλλον ἀδικεῖσθαι. 7. Μάλα ἂν χαίροιμι, εἰ οἴκοι μένοις. 8. Εἰ οἴκοι μένοιτε, τίς οὐκ ἂν χαίροι; 9. Τὴν ἐλευθερίαν ἑλοίμην ἂν ἀντὶ πάντων, ἃ ἔχω.



Урок игры на флейте и урок письма.
Рисунок на аттическом блюде, ок. 485 г.

10. Μή μοι γένοιθ' ἃ βούλομ', ἀλλ' ἃ συμφέρει.
11. Ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος,
    τὰ δ' ἄλλ' ὅμοιος, καὶ γένοι' ἂν οὐ κακός (из Софокла)
12. Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς[2] πλέοις.

[1] ***inf.praes.*** [2] **ἡ ῥίψ, ῥιπός камыш, плетенка из камыша**

C Διογένης κακοῦ τινος ἀνθρώπου ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν· „Μηδὲν εἰσίτω[1] κακόν“, „Ὁ οὖν κύριος τῆς οἰκίας“, ἔφη, „ποῦ εἰσέλθοι ἄν;“

[1] **in-ito!**

30

A

1. Δία τί οἱ ἄνεμοι οὐ πνέουσιν;	Ἀγαμέμνων ἤρετο, διὰ τί οἱ ἄνεμοι οὐ πνέουσιν (οὐ πνέοιεν).
2. Ἀγαμέμνων εἰς τοὺς θεοὺς ὕβρισεν.	Ὁ μάντις λέγει, ὅτι Ἀ. εἰς τοὺς θεοὺς ὕβρισεν. ἔλεγεν, ὅτι Ἀ. ε. τ. θ. ὑβρίσειεν (ὑβρίσαι).
3. Ἀγαμ. ἐφοβήθη, μή οἱ κωλύηται (κωλύοιτο) ὁ τῆς στρατιᾶς πλοῦς.	
4. Οἱ θεοὶ ὀργίζονται, ἐάν τις εἰς αὐτοὺς ὑβρίσῃ.	Οἱ θεοὶ ὠργίζοντο, εἴ τις εἰς αὐτοὺς ὑβρίσειεν (ὑβρίσαι).



Персидский царь Дарий выслушивает речь. Апулийский драгоценный сосуд, ок. 330 г.

Αἰσχύλου Πέρσαι

B 1. Ἐπεὶ οἱ Πέρσαι ἐν Σαλαμῖνι ἐνικήθησαν, ἄγγελός τις ἐν Σούσοις τοῖς τε γέρουσι καὶ τῇ βασιλέως μητρὶ διηγήσατο, ὅτι ἐκράτησαν (κρατήσειαν) τῶν βαρβάρων οἱ Ἕλληνες. 2. „Τίς ἄν“, ἔφη, „νομίσειε τοσαῦτα ἐκείνους ἐργάσασθαι; 3. Ὁπότε γὰρ ναῦς Περσικὴ νηὶ Ἑλληνικῇ ἐπιχειρήσειεν, οἱ πολέμιοι κρείττους ἡμῶν ἦσαν. 4. Εἰ γὰρ εὔξαισθε τοῖς πατρίοις θεοῖς καὶ εἴθε σύ, ὦ βασίλισσα, θύσειας αὐτοῖς ὑπὲρ τῆς πατρίδος. 5. Τοῦτο ποιησάντων ὑμῶν ἡμεῖς τὸ λοιπὸν αὖθις ἂν εὐτυχήσαιμεν.“

C 1. Ποῖος μὲν ἂν κόσμος οἰκίας εἴη, εἰ οἱ νεώτεροι τῶν γεραιτέρων καταφρονήσειαν, ποῖος δὲ διδασκαλείων, εἰ οἱ μαθηταὶ τῶν διδασκάλων ἀμελήσειαν;

2. Σωκράτης ἐρωτησάντων τῶν φίλων, τίνα τρόπον θάψειαν[1] αὐτόν, εἶπεν, ὅπως ἂν ἐθέλωσιν, ἐάνπερ γε λάβωσιν αὐτὸν καὶ μὴ ἐκφύγῃ αὐτούς.

3. Εὐκλείδης τοῦ ἀδελφοῦ πρὸς αὐτὸν ἐκ διαφορᾶς εἰπόντος· „Ἀποθάνοιμι, εἰ μή σε τιμωρησαίμην“, „Ἐγὼ δ’“, εἰπών, „ἀποθάνοιμι, εἰ μή σε πείσαιμι“, διέτρεψεν[2] αὐτίκα καὶ διήλλαξεν. 4. Κῦρος εἶδεν Δαρεῖον, ὅτι μέσον ἔχοι τοῦ Περσικοῦ στρατοῦ. 5. Ἔστε μὲν παρείη στρατηγός, ἐμάχου τοῖς πολεμίοις, ὅτε δ’ ἀπέλθοι, ἔφευγες τὰ τῶν πολεμίων ὅπλα. 6. Οἱ στρατιῶται ἐθαύμαζον, ὅτι οὐδεὶς τῶν στρατηγῶν φαίνοιτο.

7. **Свинцовая табличка с проклятием, найденная в Пирее (III в. до н.э.). Филон проклинает жену Аристона, которая его оклеветала:** Ἀριστὼ ἐγὼ ἔλαβον καὶ ἔδησα[3] τὰς χεῖρας καὶ τοὺς πόδας καὶ τὴν γλῶτταν καὶ τὴν ψυχήν· καὶ μὴ ἰσχύσειε ὑπὲρ Φίλωνος φθέγγεσθαι ῥῆμα πονηρόν, ἀλλὰ ἡ γλῶττα αὐτῆς μόλυβδος[4] γένοιτο. καὶ κέντησον[5] αὐτῆς τὴν γλῶτταν.

8. Свинцовая табличка из Додоны с вопросом к оракулу: ʽΙστορεῖ[6] Νικοκράτεια, τίνι ἂν θεῶν θύουσα ἄμεινον πράττοι καὶ τῆς νόσου παύσαιτο[7].

[1] θάπτω хороню [2] διατρέπω поворачиваюсь [3] *символически* [4] свинец [5] κεντέω колоть, прокалывать. *Вопрошают богиню Гекату* [6] *3-е л. sg.ind.praes. от* ἱστορέω справляюсь о чем-л. [7] παύεσθαι *здесь:* освобождаться


Прыгун в длину с гирями в руках. Аттическое блюдо, ок. 490 г.

31


Дискобол. Аттическая амфора, ок. 500 г.

A 1. Τὸν ἄνδρα ὁρῶ. 2. Τιμῶμεν τούτους, οἳ τοὺς κακοὺς νικῶσιν. 3. Ἆρ' ὁρᾷς τὴν ἀκρόπολιν; 4. Ὃν ἀγαπᾷ κύριος, παιδεύει. 5. Σιωπᾶτε, ὦ παῖδες. 6. Τούτῳ νίκα. 7. Πολλὰ ἐθεώμεθα καὶ ὀλίγα ἠρωτῶμεν. 8. Ὦ ἰατρέ, ἴω τὸν φίλον.

9. Γελᾷ δ' ὁ μῶρος, κἄν τι μὴ γελοῖον ᾖ[1].

[1] *coni. от* ἐστί

B **Περὶ Ὀλυμπίας**

1. Ἆρ' ὁρᾶτε ἐν πίνακι τὴν Ἦλιδα; 2. Πειρώμεθα εὑρεῖν Ὀλυμπίαν. 3. Ἐκεῖ τὰ Ὀλύμπια ἤγετο καὶ ἐκεῖσε ὡρμῶντο οἱ ἄριστοι τῶν ἀθλητῶν ἐκ πάσης τῆς Ἑλλάδος. 4. Πολλοὶ ἄνδρες ἐθεῶντο τοὺς ἀγῶνας. 5. Ἅμ' ἕῳ πάντες μὲν ἠρίστων, ἔπειτα δὲ κῆρυξ ἐβόα· 6. „Σιγᾶτε πάντες καὶ μὴ ἐᾶτε κακόν τι γενέσθαι. 7. Εἰ γὰρ ὁ ἄριστος νικῴη.“ 8. Πᾶς οὖν ἐσίγα καὶ οἱ ἀγωνισταὶ γυμνοὶ ὄντες ἐσπούδαζον, ἵνα νικῷεν τοὺς ἄλλους ἀγωνιστὰς καὶ κτῷντο ἐλαίας στέφανον, ὃς ἆθλον ἦν ἐν τοῖς ἀγῶσιν. 9. Τὸν γὰρ Ὀλύμπια νικῶντα μάλιστ' ἐτίμων οἱ Ἕλληνες καὶ ἡδέως ἑώρων. 10. Τάδε δ' ἦν τὰ τῶν ἀγώνων γένη· πηδᾶν, τρέχειν, δίσκον βάλλειν, ἀκοντίζειν, παλαίειν. 11. Ὁ Ὀλυμπιονίκης ζῶν καὶ τελευτῶν σφόδρα ἐτιμᾶτο. 12. Γυμνάζεσθε δὴ καὶ ὑμεῖς, ἵνα νικᾶτε ἐν τοῖς ἀγῶσι καὶ μὴ ἡττᾶσθε τῶν ἄλλων.


Копьеметатель. Рисунок на аттическом блюде, ок. 510 г.

C 1. Ἐσπούδασας, ἵνα νικῴης καὶ κτῷο τὸ ἆθλον. 2. Οἱ κήρυκες οὐκ εἴων κακὰ γενέσθαι. 3. Ἐὰν διψῆτε καὶ πεινῆτε, πίνετε καὶ ἐσθίετε. 4. Ὁ πεινῶν σίτου τυχὼν ἐχρῆτο μαχαίρᾳ. 5. Ἐὰν γλαῦξ βοᾷ, φόβον ἔχομεν. 6. Οὐ πίνομεν, ἐὰν μὴ διψῶμεν. 7. Παῦλος πρὸς τοὺς Κορινθίους ἔγραψεν τὰς γυναῖκας ἐν ταῖς ἐκκλησίαις σιγᾶν δεῖν· ἀγαπώσας οὖν τὰ οἴκοι ἔργα τὰς γυναῖκας ἐπαίνου ἀξίας

εἶναι ἐνόμιζεν. 8. Ἀλεξάνδρου ἐρωτῶντος τὸν Πῶρον· „Πῶς σοι χρήσωμαι;“ ἐκεῖνος· „Βασιλικῶς“ ἔφη. 9. Ὦ φίλε, ἀγαπᾷ ὑπὸ τῶν φίλων ὥσπερ ἠγαπῶ ὑπὸ τῶν γονέων. 10. Ἀγάπα τοὺς σαυτοῦ, ἵνα τιμᾷ ὑπ' αὐτῶν. 11. Εἴθε πειρῴμεθα νικᾶν τοὺς ἐναντίους, ἵνα κτώμεθα τὸ ἆθλον. 12. Ὁπότε ὁ στρατηγὸς ὁρμῷτο ἔκ τινος κώμης, ηὔχετο τοῖς θεοῖς. 13. Ὁρῶν πίνακα, ἐν ᾧ γελοῖόν τί ἐστιν ὁρᾶν, τὸ τέκνον γελᾷ.



Борцы. Аттический псиктер, ок 510. г.

Из надписи в эпидаврском святилище Асклепия, в которой рассказывается о чудесных исцелениях во время сна в храме (ок. 300 г. до н.э.):

Ἡραιεὺς Μυτιληναῖος. Οὗτος οὐκ εἶχε ἐν τῇ κεφαλῇ τρίχας, ἐν δὲ τῷ γενείῳ[1] παμπόλλας. Αἰσχυνόμενος δὲ ἅτε καταγελώμενος ὑπὸ τῶν ἄλλων ἐνεκάθευδε. Τὸν δὲ ὁ θεὸς χρίσας φαρμάκῳ τὴν κεφαλὴν ἐποίησε τρίχας ἔχειν.

[1] τὸ γένειον подбородок

*D Изречения семи мудрецов

ΘΑΛΗΣ: Γνῶθι σεαυτόν.

ΠΙΤΤΑΚΟΣ: Καιρὸν γνῶθι.

ΣΟΛΩΝ: Μηδὲν ἄγαν.

ΒΙΑΣ: Οἱ πλεῖστοι κακοί.

ΧΙΛΩΝ: Ἐγγύα· πάρα δ' ἄτα[1].

ΚΛΕΟΒΟΥΛΟΣ: Μέτρον ἄριστον.

ΠΕΡΙΑΝΔΡΟΣ: Μελέτη τὸ πᾶν.

[1] ἐγγυάω даю залог, ручаюсь, уверяю; ἄτα *дор.* = ἄτη беда, пагуба; πάρα = πάρεστι

32

A 1. Ἀδικεῖς με, ὦ δικαστά. 2. Ὁ φθονῶν ἄλλῳ ἑαυτὸν ὡς ἐχθρὸν λυπεῖ. 3. Σωκράτης ἀδικεῖ ζητῶν τά τε ὑπὸ γῆς καὶ οὐράνια καὶ τὸν ἥττω λόγον κρείττω ποιῶν καὶ ἄλλους τὰ αὐτὰ ταῦτα διδάσκων. 4. Ὅτι οὐκ ἀδικῶ κατὰ τὴν γραφήν, οὐ πολλῆς μοι δοκεῖ δεῖσθαι ἀπολογίας. 5. Ἄνθρωποι ὄντες δεῖσθε σίτου, ἵνα μὴ πεινῆτε. 6. Εἰ μὴ ἀδίκους μιμοῖο, εὐτυχοίης ἄν. 7. Ἀγαθὸν οὐ τὸ μὴ ἀδικεῖν, ἀλλὰ τὸ μηδὲ ἐθέλειν. 8. Τέκνον ἀδικοῦν κολάζεται. 9. Οὐδεὶς ἐλεύθερος ἑαυτοῦ μὴ κρατῶν. 10. Τὴν ἐλευθερίαν περὶ πολλοῦ ποιοῦ. 11. Εἰ μὴ τὴν ἐλευθερίαν περὶ πολλοῦ ποιεῖσθε, μιμεῖσθε τοὺς δούλους. 12. Πηνελόπη θαρροῦσα

τοῖς μνηστευομένοις διελέγετο. 13. Ὅστις τὸν Φειδίαν μιμοῖτο, ἡττᾶτο αὐτοῦ. 14. Διογένης μακρά τινος ἀναγιγνώσκοντος καὶ πρὸς τῷ τέλει τοῦ βιβλίου ἄγραφον[1] φαίνοντος· „Θαρρεῖτε, ἔφη, γῆν ὁρῶ.“ 15. Ἀγαθάρχου τοῦ ζωγράφου μέγα φρονοῦντος ἐπὶ τῷ ταχὺ καὶ ῥᾳδίως τὰ ζῷα ποιεῖν ἀκούσαντά ποτε λέγουσι τὸν Ζεῦξιν εἰπεῖν· „Ἐγὼ δ' ἐν πολλῷ χρόνῳ.“

16. Μὴ φθόνει τοῖς εὐτυχοῦσι, μὴ δοκῇς εἶναι κακός.
17. Ὃν οἱ θεοὶ φιλοῦσιν, ἀποθνήσκει νέος. (Менандр)
18. Ζήσεις βίον κράτιστον, ἢν θυμοῦ κρατῇς.

[1] **кусок неисписанного папируса**

Περὶ τοῦ ἐν Ἅιδου δικαστηρίου

B 1. Ὥσπερ Πλάτων ἱστορεῖ, ἠπόρουν ποτὲ ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, πῶς κρίνωνται (κρίνοιντο) οἱ ἄνθρωποι. 2. Οἱ μὲν γὰρ εὐσεβοῦντες εἰς μακάρων νήσους ἐπέμποντο, οἱ δ' ἀδικοῦντες εἰς τόπον, ὃς ἐκαλεῖτο Τάρταρος. 3. Κρόνου δὲ κρατοῦντος παντὸς τοῦ κόσμου οἱ μέλλοντες τελευτᾶν ἐκρίνοντο ζῶντες καὶ τὴν γῆν ἔτι οἰκοῦντες ὑπὸ δικαστῶν ζώντων τῇ αὐτῇ ἡμέρᾳ, ᾗ ἔμελλον ἀποθανεῖν. 4. Αὕτη δ' ἡ κρίσις ἄδικος εἶναι ἐδόκει τοῖς Κρόνου παισίν. 5. „Εἰ μὲν γάρ“, ἔφη ὁ Ζεύς, „οἱ τελευτήσοντες ἐσθῆτας ἔχουσι καλάς, οἱ δικασταὶ οὐ γιγνώσκουσιν, πῶς ἡ ψυχὴ φρονεῖ. 6. Ὧδε οὖν ποιῶμεν τὴν κρίσιν· Γυμνοὶ ὄντες οἱ ἤδη θανόντες κρινέσθων, καὶ Μίνως καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς καλούντων αὐτοὺς εἰς δικαστήριον, ἵνα θεωρῶσι γυμνῶν ὄντων τὰς ψυχὰς γυμνὰς οὔσας. 7. Τότε δ' οὔτε φιλοῦντες οὔτε μισοῦντες κρίσιν ἂν ζητοῖεν δικαίαν.“ 8. Καὶ ἐγένετο οὕτως.

33

Κυκλώπεια[1]

A 1. Τὸ ἄντρον, ἐν ᾧ Ὀδυσσεὺς καὶ οἱ ἑταῖροι μένουσι τὸν Πολύφημον, δηλοῖ αὐτὸν ἄγριον ὄντα. 2. Ἐπανελθὼν δὲ οἴκαδε ὁ Κύκλωψ λέγει θανατοῦν αὐτοὺς

Ослепление Полифема. Амфора, ок. 560 г.



καὶ δύο αὐτῶν φονεύσας κατεσθίει. 3. Ὀδυσσεὺς οὖν λόγοις ἐναντιούμενος αὐτῷ οὐδὲν ὠφελεῖ τοὺς ἑταίρους. 4. Ὥστε πάντες τὸν Πολύφημον ζημίας ἀξιοῦσι βαρείας. 5. „Εἴθε“ λέγουσι, „ζημιοῖτο, ἵνα μηδέποτ' ἔτι ταπεινοὶ μηδὲ καταφάγῃ ἀνθρώπους. 6. Ἐλευθέρου ἡμᾶς, ὦ Ὀδυσσεῦ, ἵνα βιῶμεν καὶ μὴ ἐνθάδε τελευτῶμεν.“ 7. Ὀδυσσεὺς οὖν κατασκευασάμενος ξύλον τυφλοῖ τὸν Κύκλωπα. 8. Οὕτως ἐλευθεροῦται αὐτός τε καὶ οἱ μετ' αὐτοῦ. 9. Ἀπὸ δὲ τῆς νήσου ἀποπλέουσιν ἄλλους κινδύνους κινδυνεύσοντες. 10. Ἐπαινεῖται δὲ καὶ νῦν ὁ Ὀδυσσεὺς διὰ τήν τε ἀνδρείαν καὶ τὴν σωφροσύνην. —

11. Ὧν ἂν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις. 12. Ἐὰν ἐναντιοῖ τῷ κακῷ, οὐδείς σε δουλώσει. 13. Εἰ μὴ οἱ ἄνθρωποι ἄλλους ἐδούλουν, ἐβιοῦμεν ἂν ἐν εἰρήνῃ. 14. Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέοντι τὸν Ἰώνιον κόλπον.

15. Ὑπὸ τῆς ἀνάγκης πάντα δουλοῦται ταχύ.

[1] рассказ о Киклопе

B Ὁρῶν ὁ Κῦρος τὸν κόσμον τοῦ πάππου, τῇ μητρὶ ἔλεγεν· „Ὦ μῆτερ, ὡς καλός μοι ὁ πάππος.“ Ἐρωτώσης δὲ αὐτὸν τῆς μητρός, πότερος καλλίων αὐτῷ δοκεῖ εἶναι, ὁ πατὴρ ἢ οὗτος, εἶπεν ἄρα ὁ Κῦρος· „Ὦ μῆτερ, Περσῶν μὲν πολὺ κάλλιστος ὁ ἐμὸς πατήρ, Μήδων μέντοι ὅσων[1] γιγνώσκω ἐγὼ καὶ ἐν ταῖς ὁδοῖς καὶ ἐπὶ ταῖς θύραις πολὺ οὗτος ὁ ἐμὸς πάππος κάλλιστος.“ Ἀσπαζόμενος δὲ ὁ πάππος αὐτὸν καὶ στολὴν[2] καλὴν ἐνέδυσε καὶ στρεπτοῖς[3] καὶ ψελίοις[4] ἐτίμα καὶ ἐκόσμει.

[1] = πάντων ὅσους [2] ἡ στολή платье [3] ὁ στρεπτός ожерелье [4] τὸ ψέλιον браслет

34

A 1. Ποῦ ἦσθα χθές, ὦ φίλε; — Ἐν Πειραιεῖ ἦν.
2. Καὶ τίς ἦν μετὰ σοῦ; — Ὁ υἱὸς τοῦ ἐμοῦ ἀδελφοῦ ἀπόντος ἤδη τρία ἔτη.
3. Ἆρ' ἦτε καὶ ἐν τῷ λιμένι; — Ἦμεν.

4. Φοβοῦμαι, μὴ πολὺν χρόνον ὁ ἀδελφὸς ἀπῇ. 5. Εἰ γὰρ τοῖς Παναθηναίοις παρείη, ἵνα πάντες οἷοί τ' ὦμεν τῇ θεῷ εὔχεσθαι. 6. Εἰρήνης οὔσης ἀσφαλεῖς ἂν εἶμεν (εἴημεν). 7. Δίκαιος ἴσθι· δικαστὴς γὰρ εἶ καὶ δίκαιος ἔσεσθαι ὑπέσχου. 8. Τί δειλοί ἐστε οὕτως; πῶς οὐκ ἔχετε πίστιν; *(Марк. IV, 40)* 9. Ὃς ἂν ὁρμηθῇ ἐν καιρῷ, ἐν καιρῷ καὶ παρέσται. 10. Κακόν, κἂν μόνος ᾖς, μήτ' εἴπῃς μήτ' ἐργάσῃ. 11. „Ἀλέξανδρος εἰ μὴ ἐγὼ ἦν, Διογένης ἂν ἦν.“

12. Ἔργοις φιλόπονος ἴσθι, μὴ μόνον λόγοις.

B Νέαρχος Ἀλεξάνδρῳ διηγεῖται·

1. „Ὦ βασιλεῦ, πρῶτον μὲν οἱ Ἰνδοὶ ἡμῖν πράγματα παρεῖχον, ὥστε ἐφοβήθημεν, μὴ ἡττηθεῖμεν (ἡττηθῶμεν) αὐτῶν. 2. Τότε δὴ ἦν ἰδεῖν ἡ τῶν στρατιωτῶν ἀρετή· 3. Ἐτρεψάμεθα γὰρ πάντας τοὺς πολεμίους, καὶ ἔστιν οὓς αὐτῶν ἐτραυματίσαμεν. 4. Ἔπειτα δὲ κατάσκοποι εἶπον, ὅτι ἄλλοι βάρβαροι ἐξαίφνης ἐπιχωρήσοιεν, ὧν ἡμεῖς ἡττηθησοίμεθα. 5. Ταχὺ οὖν ἀνάγεσθαι τοὺς ναύτας ἐκέλευσα. 6. Τότε δὲ τρεῖς μῆνας ἦμεν ἐν τῇ θαλάττῃ, ἐν ᾧ σὺ ἦσθα ἐν τῇ ἐρήμῳ ἔχων τὸ στράτευμα. 7. Διαρριψάντων δὲ τὰς ναῦς τῶν χειμώνων ἐπεμελήθημεν, ὅπως σωθείη (σωθῇ) ὁ στόλος. 8. Μὴ οὖν φοβηθῇς· σῶαί σοί εἰσιν πᾶσαι αἱ νῆες καὶ σῶοι ἔσονται, ἐὰν οἱ θεοὶ θέλωσιν, πάντες οἱ ἐνόντες. 9. Ἔστω δ' ἀδεὴς πᾶς ὁ τῶν Μακεδόνων στρατός. 10. Σὺ δ', ὦ Ἀλέξανδρε, ἐπιμελήθητι τῶν νοσούντων, ὅπως ὡς τάχιστα θεραπευθήσονται. 11. Εἴθε τὸ λοιπὸν φροντίδων ἐλεύθεροι εἶμεν."

35

A

1. Ποίαν τέχνην χαλεπωτάτην εἶναι νομίζεις;	Εἰπέ μοι, ὁποίαν (ποίαν) .... νομίζεις.
2. Πόσοι ἐν ὄρεσι λίθοι εἰσίν;	Ἤρετο, ὁπόσοι (πόσοι) ἐν ὄρεσι λίθοι εἰσίν (εἶεν).

3. Οἷος μὲν ὁ τρόπος, τοιοῦτος καὶ ὁ λόγος· οἷος δ' ὁ λόγος, τοιαῦται καὶ αἱ πράξεις. 4. Τοσοῦτοι ἐν ὄρεσι λίθοι, ὅσα ἐν οὐρανῷ ἄστρα. 5. Οἷοι ἂν ὦσιν οἱ ἄρχοντες, τοιαῦται καὶ αἱ πολιτεῖαί εἰσιν. 6. Ὅσῳ τις δυνατώτερός ἐστιν, τοσούτῳ ῥᾷον ὑβρίζει. 7. Παλαμήδης ἀποθανὼν ἀδίκως παρὰ τῶν θεῶν τοιαύτης τιμωρίας ἔτυχεν, οἵας οὐδεὶς ἄλλος. 8. Τοιούτους ἡμᾶς δεῖ εἶναι περί[1] τοὺς ἄλλους, οἵους ἀξιοῦμεν τοὺς ἄλλους περὶ ἡμᾶς εἶναι. 9. Ὦ ἄθλιοι, οὐ τοιούτων ζημιῶν ἄξιοί ἐστε, οἵων ἐτύχετε. 10. Ὁ σοφὸς τὸ κακῶς παθεῖν οὐ τοσοῦτο(ν) φοβεῖται, ὅσον τὸ κακῶς ποιῆσαι· τοῦτο γὰρ αἴτιον ἐκείνου. 11. Λόγοις μὲν πείθειν ὑμᾶς οὐκέτι πειράσομαι, τοσόνδε δὲ δηλώσω· ἐκοῦσιν ὑμῖν πειθομένοις μισθὸς ἔσται τοιοῦτος, οἷος καὶ πρότερον. 12. Ὁ Καῖσαρ ῥᾳδίως νικήσας τοὺς πολεμίους τοσάδε ἔγραψεν· „Ἦλθον, εἶδον, ἐνίκησα". 13. Κῦρος αἰσθόμενος φυγόντων τῶν λοχαγῶν τοιάδε εἶπε· „Μὴ διώξητε αὐτούς, οὐ γὰρ αὐτῶν δέομαι". 14. Κάστωρ καὶ Πολυδεύκης παῖδες ἦσαν τῆς Λήδας. Ὁ μὲν θνητός, ὁ δὲ ἀθάνατος ἦν. Πότερος θνητός ἦν; — Ἐρωτῶ σε, ὁπότερος θνητός ἦν. 15. Πύρρος τὸν ἕτερον ὀφθαλμὸν τυφλὸς (слепой) ἦν. 16. Ὁπότερος ἂν ὑμῶν πρότερος παρέλθῃ, δώροις τιμηθήσεται.

[1] περί *с acc.* по отношению к кому-л., относительно кого-л.

B 1. Ποῦ ἐστιν ὁ τῶν ξένων στόλος; — Ἆρ' εἴδετέ που τὸν στόλον; 2. Ἆγις ἔφη τοὺς Λακεδαιμονίους οὐκ ἐρωτᾶν, ὁπόσοι (πόσοι), ἀλλ' ὅπου εἰσὶν (ποῦ εἰσιν) οἱ πολέμιοι. Ἐρωτῶντος δέ τινος, πόσοι εἶεν οἱ Λακεδαιμόνιοι, „Ἱκανοί, ἔφη, τοὺς κακοὺς ἀμύνεσθαι." 3. Ἐκεῖνος ἕτερον μὲν λέγει, ἕτερον δ' ἐντὸς


ἀποκρύπτει. 4. Πόθεν ἥκεις, ὦ ξένε; — Οἴκοθεν ἥκω, ἐκεῖθεν γὰρ χθὲς ὡρμήθην, αὐτόσε δ' αὔριον αὖθις πορεύσομαι. ('Ηρόμην, ὁπόθεν ἥκοι ....) 5. Φοβοῦμαι, μὴ ὁ ἡγεμὼν ἡμᾶς ἄγῃ, ὅθεν οὐκ ἔσται ἐξελθεῖν. 6. Ποῖ φεύγεις; Οἴκαδε φεύγω. ἐκεῖσε γὰρ βούλομαι τρέχειν, οἷ οἱ δυστυχοῦντες φεύγουσιν. ('Ηρόμην, ὅποι φύγοι). 7. Σὺν ὑμῖν τίμιος[1] ἔσομαι, ὅπου ἂν ὦ· ὥστε συμπορεύσομαι ὑμῖν ὅπῃ ἂν καὶ ὑμεῖς. 8. Τοσαύτην κραυγὴν ἐποίησεν Πολύφημος, ὥστε (ὅσην) καὶ τοὺς παροίκους ἀκούειν. 9. 'Αναξιμένης Μιλήσιος· „Οἷον[2] ἡ ψυχή, φησίν, ἡ ἡμετέρα ἀὴρ οὖσα συγκρατεῖ[3] ἡμᾶς, καὶ ὅλον τὸν κόσμον πνεῦμα καὶ ἀὴρ περιέχει." 10. Οὕτως ἐμαχόμεθα, ὡς ἡμᾶς ἐκελεύσατε. 11. Οὕτως ἐμαχόμεθα ὥσπερ οἱ ἡμέτεροι πρόγονοι. 12. Τοὺς παῖδας παίδευε ὧδέ πως· Δίδασκε αὐτοὺς ἀγαθοὺς ἄνδρας γενέσθαι.

[1] уважаемый [2] οἷον как [3] συγκρατέω сдерживаю, держу вместе

C Δαρείου καὶ Παρυσάτιδος ἐγενέσθην δύο παῖδε. Τὼ δ' ἀδελφὼ οὐκ ἐφιλείτην ἀλλήλω, ὥσθ' ὁ πατὴρ ἀμφοῖν ὀργὴν εἶχεν. „Παύεσθον, ἔφη, τῆς ἔχθρας καὶ ἄγετον εἰρήνην."

36

A 1. Ὁ μὲν τῶν Μοιρῶν ἀριθμὸς τρεῖς ἐστιν, ὁ δε τῶν Μουσῶν ἐννέα. 2. Κῦρος παρήλαυνε σὺν τῷ ἑρμηνεῖ καὶ ἄλλοις τρισὶν ἢ τέτταρσιν. 3. Τὼ φάλαγγε οὐκέτι τρία ἢ τέτταρα στάδια διειχέτην. 4. Αἱ μὲν ἐν Βοιωτίᾳ Θῆβαι ἑπτὰ πύλας, αἱ δ' ἐν Αἰγύπτῳ ἑκατὸν ἔχειν ἐλέγοντο. 5. Οἱ ἕνδεκα ἐν 'Αθήναις τοὺς κακούργους πρὸς θάνατον ἦγον. 6. 'Αθῆναι ὡς τετταράκοντα στάδια ἀπέχουσι τῆς θαλάττης. 7. Ὁ μὲν μὴν περιέχει ἐννέα καὶ εἴκοσι ἡμέρας, ὁ δ' ἐνιαυτὸς τριακοσίας καὶ ἑξήκοντα καὶ πέντε. 8. 'Αρίστιππος αἰτεῖ τὸν Κῦρον εἰς δισχιλίους ξένους καὶ τριῶν μηνῶν μισθόν.



Девять муз. Южноиталийский кратер, ок. 400 г.

9. Σὺν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις.
10. Κακῶν γὰρ ὄντων μυρίων καθ' Ἑλλάδα
οὐδὲν κάκιόν ἐστιν ἀθλητῶν γένους.

37

A 1. Καῖσαρ ἐν τῇ ἐλαχίστῃ τῶν Ἄλπεων κώμῃ πρῶτος εἶναι μᾶλλον ἐβούλετο, ἢ ἐν Ῥώμῃ δεύτερος. 2. Κῦρος ἐστρατεύσατο πρὸς τὸν ἀδελφὸν ἔχων δέκα μυριάδας[1] Περσῶν. 3. Πέμπτῳ μὲν καὶ δεκάτῳ ἔτει μετ' Εὐβοίας ἅλωσιν[2], μετὰ δὲ τὴν ἐν Ποτειδαίᾳ μάχην μηνὶ ἕκτῳ ἄνδρες Θηβαῖοι ὀλίγῳ πλείους τριακοσίων ἐσῆλθον εἰς Πλαταιὰς τῆς Βοιωτίας. 4. Οἱ Ῥωμαῖοι τὸν ἕβδομον βασιλέα ἐξέβαλον. 5. Τῇ πεντηκοστῇ μετὰ Πάσχα ἡμέρᾳ τὸ ἅγιον πνεῦμα ἐπέπεσεν ἐπὶ τοὺς ἀποστόλους. 6. Μάριος ἑπτάκις ὕπατος ἦν.

[1] ἡ μυριάς 10 000 [2] ἡ ἅλωσις взятие, завоевание [3] τὸ Πάσχα Пасха [4] ὁ ὕπατος консул

B 1. Ἀλέξανδρος ὡς ἀφίκετο ἐπὶ τὸν Ἰνδὸν ποταμόν, ἧκον παρὰ τοῦ τῶν Ἰνδῶν βασιλέως δῶρα ἀργυρίου μὲν τάλαντα εἰς διακόσια, ἱερεῖα δὲ βόες τρισχίλιαι, πρόβατα δ' ὑπὲρ μύρια, ἐλέφαντες δ' εἰς τριάκοντα, καὶ ἱππεῖς δὲ πεντακόσιοι αὐτῷ Ἰνδῶν εἰς συμμαχίαν παρὰ τοῦ αὐτοῦ ἧκον βασιλέως. 2. Ὁ Εὐφράτης ποταμὸς διέτεμνε Βαβυλῶνα εἰς δύο μέρη. Ἐν μὲν τῷ ἑτέρῳ τοῖν δυοῖν ἦν τὰ βασίλεια, ἐν δὲ τῷ ἑτέρῳ ἱερὸν τοῦ Διός, ὃν οἱ Βαβυλώνιοι Βῆλον ἐκάλουν.

38

A 1. Χθὲς στήλαις τὴν ἀγορὰν ἐκοσμήσαμεν.	Τὴν ἀγορὰν εὖ κεκοσμήκαμεν.
2. Ἐνικήσατε Ὀλύμπια.	Νενικηκότες ἐν τῷ σταδίῳ στεφανοῦσθε.
3. Ὁ ἐμὸς πάππος ἄρτι ἐτελεύτησεν.	Νῦν εἴκοσι ἤδη ἡμέρας τετελεύτηκεν.
4. Εὖ σε οἱ γονῆς ἐπαίδευσαν.	Εὖ πεπαίδευσαι.
5. Πᾶσαν τὴν γῆν ὁ βασιλεὺς ἠλευθέρωκε.	Πᾶσα ἡ γῆ ἠλευθέρωται.



Пир (симпосий).
Рисунок на аттическом блюде, ок. 500 г.

B 1. Ἄριστα δοκεῖτέ μοι συμβεβουλευκέναι. 2. Χάριν ὑμῖν ἔχομεν, ὦ ξένοι, ἀνδρείως γὰρ ἡμῖν βεβοηθήκατε. 3 Λυσίμαχος διὰ δίψαν τῶν πολεμίων ἡττηθεὶς ὡς ἔπιεν· „Ὦ θεοί, εἶπεν, ὡς μικρᾶς ἡδονῆς ἕνεκα δοῦλον ἐμαυτὸν ἐκ βασιλέως πεποίηκα“. 4. Χίλων τὸν τετελευτηκότα μακαρίζειν δεῖν ἔλεγεν. 5. Πρόδικος βιβλίον ἔγραψεν, ἐν ᾧ πεποίηκε τὸν Ἡρακλέα τῇ Ἀρετῇ καὶ τῇ Κακίᾳ συντυγχάνοντα. 6. Διογένης θεασάμενός ποτε παιδίον ταῖς χερσὶ πῖνον ἐξέρριψε τὸ ἔκπωμα εἰπών· „Παιδίον με νενίκηκεν εὐτελείᾳ[1]“. 7. Περικλῆς εὖ ἐπεποιήκει τὴν πόλιν. 8. Ἐπεὶ αἱ γυναῖκες προσῆλθον, ἐτεθηράκεσαν ἤδη οἱ ἄνδρες καὶ πεφονευμένοι ἦσαν οἱ λέοντες. 9. Τῷ νῷ οἱ ἄνθρωποι διακρίνουσιν, ἃ ὀρθῶς πεποίηται καὶ ἃ μή. 10. Οὐκ αἰσχύνῃ οὕτω ἐξηπατημένος; 11 Ἀλέξανδρος τρία καὶ τριάκοντα ἔτη γεγονὼς[2] ἐστρατεύκει ἐπὶ πλεῖστα ἔθνη. 12. Ὁ ἐν τῇ παλαίστρᾳ γυμναζόμενος κέχριται πᾶν τὸ σῶμα. 13. Ἐν ἀρχῇ ἡ γῆ ἄτακτος ἦν διὰ τὸ μήπω ὑπό τινος κεκοσμῆσθαι. 14. Τὰ βιβλία τὰ Πρωταγόρου τοῦ φιλοσόφου οἱ Ἀθηναῖοι κατέκαιον ἐν τῇ ἀγορᾷ ἀναλεξάμενοι παρ' ἑκάστου[3] τῶν κεκτημένων. 15. Ἐστεφανωμένοι οἱ Ἕλληνες κατεκλίνοντο δειπνήσοντες. 16. Τὸν Ὀλυμπίασι[4] στέφανον πολλοὶ προτετιμήκασι τοῦ ζῆν. — 17. Εὐλογημένος[5] ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

[1] ἡ εὐτέλεια простота, бережливость [2] от роду, *употребляется как* natus
[3] ἕκαστος каждый [4] = ἐν Ὀλυμπίᾳ [5] εὐλογέω благословляю

39

1. Ὃ γέγραφα, γέγραφα. 2. Ἐπιμελῶς οἱ θεοὶ κατεσκευάκασιν, ὧν οἱ ἄνθρωποι δέονται. 3. Οἱ εἴκοσι προδόται, οἳ χθὲς ἔφυγον, οὔπω ἀποπεφεύγασιν. 4. Οἱ ἐμοὶ μαθηταὶ ἡδέως ἀκούουσι περὶ ἡρώων τε καὶ πόλεων κατοικίσεως, ὥστε ἔγωγε δι'

αὐτοὺς ἠνάγκασμαι πολλὰ τοιαῦτα διηγεῖσθαι. 5. Πῶς σοι ἀρέσκει τόδε· „Τοὺς νόμους παραβαίνων ἐὰν λάθῃς τοὺς ἄλλους, ζημίας ἀπήλλαξαι, μὴ λαθὼν δ' οὔ"; 6. Ποῦ ἐτέταχθε; — ἐτετάγμεθα ἐν τῷ πεδίῳ. 7. Ἀναξίμανδρος Μιλήσιος πρῶτος τῶν Ἑλλήνων βίβλον ἐξέφερε περὶ φύσεως συγγεγραμμένην. 8. „Ὦ δέσποτα, μέμνησο τῶν Ἀθηναίων." 9. Ἄνθρωπε, μέμνησο θνητὸς ὤν. 10. Ἤγγελλον πολλοὶ τῷ Ξενοφῶντι, ὅτι ὁ σατράπης ἐψευσμένος εἴη καὶ φυλάττεσθαι δέοι. 11. Βουλόμεθά σου ἀεὶ ὡς εὐεργέτου μεμνῆσθαι. 12. Τὸ σῶμά τινές φασι σῆμα εἶναι τῆς ψυχῆς ὡς τεθαμμένης ἐν αὐτῷ· τέθαπται γάρ, ὥς φησι Πυθαγόρας, ἡ ψυχὴ ἐν τῷ σώματι. 13. Ἀλέξανδρος ἐν Βαβυλῶνι ἐτέθαπτο, οὗπερ καὶ ὡς χίλιοι ἐνακόσιοι τριάκοντα τῶν στρατιωτῶν τεθαμμένοι ἦσαν. 14. Ἐὰν τὸ ὄνομα γεγραμμένον ᾖ ἐπὶ τῷ τάφῳ, οὐ χαλεπόν ἐστιν εὑρεῖν τὸν νεκρόν. 15. Κῦρος· „Κλέαρχε καὶ Πρόξενε, εἴ τινα ἀλλήλοις μάχην συνάψετε, νομίζετε ἐν τῇδε τῇ ἡμέρᾳ ἐμέ τε κατακεκόψεσθαι καὶ ὑμᾶς οὐ πολὺ ἐμοῦ ὕστερον." 16. Φίλος οὐδεὶς ἡμῖν λελείψεται. 17. Ἀνερρίφθω ὁ κύβος.

40

Περὶ Πολυκράτους

A 1. Πολυκράτης ὁ τῆς Σάμου τύραννος βίον ἄλυπον διῆγεν ἐν πολλῇ ἀφθονίᾳ, ὥστε ἐθαυμάσθη ὑπὸ πλείστων τῶν τότε ἀνθρώπων. 2. Ἄμασις δ', ὁ τῆς Αἰγύπτου βασιλεύς, φίλος ὢν αὐτῷ οὐδὲν ἥσθη τοῦτ' ἀκούσας, ἀλλὰ δι' ἐπιστολῆς συνεβούλευσεν αὐτῷ ἀποβάλλειν ὅ, τι αὐτῷ φίλτατον εἴη· ἐφοβεῖτο γὰρ τὸν τῶν θεῶν φθόνον. 3. Πολυκράτης οὖν πεισθεὶς τῷ φίλῳ σφραγῖδα πολυτελῆ ἔρριψεν εἰς τὴν θάλατταν νομίσας οὕτω τοὺς θεοὺς λήξειν φθονοῦντας. 4. Ἀλλὰ πάνυ ἐψεύσθη· μετὰ γὰρ ταῦτα πέμπτῃ ἢ ἕκτῃ ἡμέρᾳ ἁλιεύς τις ἀχθεὶς πρὸς τὸν τύραννον ἐδωρήσατο αὐτῷ ἰχθὺν μέγαν. 5. Ὁ δὲ διαλεχθεὶς τῷ ἀνδρὶ βραχὺν χρόνον δώρῳ τιμήσας αὐτὸν ἀπέπεμψεν. 6. Οἱ δὲ δοῦλοι κατασκευάσαντες τὸν ἰχθὺν ηὗρον ἐν τῇ γαστρὶ αὐτοῦ τὴν σφραγῖδα τὴν ἀπορριφθεῖσαν ὑπὸ τοῦ δεσπότου. 7. Τότε δὴ ὁ Πολυκράτης ἐταράχθη. 8. Καὶ ὀλίγοις ἔτεσιν ὕστερον ὑπὸ τῶν πολεμίων ἐζωγρημένος πρὸς θάνατον ἀπήχθη.

B Ἀρίστιππος ὁ Κυρηναῖος ἐπειδή ποτε πλέων τῆς νεὼς διασχισθείσης ἐπὶ τὴν τῶν Συρακοσίων γῆν ἐξερρίφθη, ἐθάρρησε θεασάμενος ἐπὶ τῆς ψάμμου[1] σχῆμα γεωμετρικόν· ἐλογίσατο γὰρ εἰς Ἕλληνάς τε καὶ σοφοὺς ἄνδρας, οὐκ εἰς βαρβάρους ἥκειν.

[1] ἡ ψάμμος песок

A Περὶ Προμηθέως

1. Προμηθεὺς ὁ Ἰαπετοῦ τοῦ Τιτᾶνος ἔλαθε τοὺς θεοὺς ποιήσας ἀνθρώπους. 2. Οἱ δὲ θεοὶ ἠξίωσαν σφαγῆναι αὐτοῖς ἱερά, ἵνα φυλάττοιεν τοὺς ἀνθρώπους. 3. Οἱ οὖν ἄνθρωποι ἱερὰ μὲν ἐποιήσαντο, δόλῳ δέ τινι Προμηθέως οἱ θεοὶ τὸ χεῖρον μέρος τῶν ἱερῶν λαβόντες ἐβλάβησαν. 4. Τὰ γὰρ ὀστᾶ μόνον τοῖς θεοῖς ἔκαιον οἱ ἄνθρωποι, τὰ δὲ λοιπὰ αὐτοὶ κατήσθιον. 5. Ὥστε Ζεὺς μὲν αὐτοῖς τὸ πῦρ ἀπεῖπε, Προμηθεὺς δὲ κλέψας τὸ τοῦ Ἡλίου πῦρ ἐκόμισε πρὸς τοὺς ἀνθρώπους, οἳ τῷ κλαπέντι πυρὶ τὰς θυσίας καὶ τὰ σῖτα ἐποιήσαντο.



Геракл освобождает Прометея от орла, посланного Зевсом.
Раннеаттическая амфора, ок. 570 г.

6. Ἠγανάκτουν δὴ οἱ θεοὶ καὶ Διὸς καλέσαντος συλλεγέντες γυναῖκα καλλίστην πεποιημένην ὑφ' Ἡφαίστου ἐκόσμησαν καὶ πύξιν[1] ἐνεχείρισαν αὐτῇ πεπληρωμένην παντοίων κακῶν. 7. Ταύτην δὲ τὴν πύξιν φέρουσα ἡ γυνή, ἧς τὸ ὄνομα Πανδώρα, πρὸς Ἐπιμηθέα, τὸν Προμηθέως ἀδελφόν, ἦλθεν. 8. Ὁ δὲ λαβὼν τὴν πύξιν ἔλυσε, καὶ αὐτίκα οἱ ἄνθρωποι δυστυχίαις τε καὶ νόσοις τριβέντες ἐξεπλάγησαν. 9. Ἀλλ' αὖθις ὁ Προμηθεὺς τοῖς ἀνθρώποις πληγεῖσιν ὑπὸ τῶν θεῶν ἐβοήθησε πέμψας τὴν Ἐλπίδα. 10. Ζεὺς δὲ τόνδε τὸν τρόπον Προμηθέα ἐζημίωσε· 11. Δεσμοῖς μὲν ζῶν προσήφθη Καυκάσῳ τῷ ὄρει, ὑπ' ἀετοῦ δὲ καθ' ἡμέραν τὸ ἧπαρ αὐτοῦ ἐκκοπὲν καὶ νυκτὸς ἐπιτραφὲν κατησθίετο. 12. Τὸν μὲν ἀετὸν ὕστερον Ἡρακλῆς κατετόξευσεν, Προμηθεὺς δὲ διεγένετο πιεζόμενος, ἵνα καταστραφείη (-στραφῇ). 13. Τέλος δὲ Ζεὺς αὐτῷ διηλλάγη.

[1] ἡ πύξις ларец, шкатулка

B 1. Σωκράτης ἐρωτηθείς, διὰ τί οὐ γράφει βίβλους· „Ὅτι, ἔφη, ἡ χαρτία[1] πολλῷ πλείονος ἀξία ἐστὶν ἢ ταῦτα, ἃ ἐπιγραφήσεται.“ 2. Οἱ ἡλίου ἔκλειψιν[2] θεωροῦντες τὸ εἴδωλου αὐτοῦ ἐν τῷ ὕδατι θεωροῦσιν, ἵνα μὴ βλαβῶσιν τοὺς ὀφθαλμούς.

[1] ἡ χαρτία лист папируса [2] солнечное затмение

A 1. Ὁ λέων, ὃς τὸν ὄνον μισεῖ, ἀποκτενεῖ αὐτόν.
2. Μιμοῦμαι τὸν δίκαιον ξένον. Τοῦτο ποιῶν οὐκ αἰσχυνοῦμαι.

3. Ἀπόκριναι, ὦ κακοῦργε, διὰ τί ἡμᾶς ἔσφηλας. 4. Ὁ μὴ σπείρας οὐ συλλέξεται καρπούς. 5. Εἰ μὴ ὑγίανας, οὐκ ἂν ἐνίκησας.

B Ἐκ τοῦ τῶν ἐφήβων ὅρκου

1. „Οὐ καταισχυνῶ τὰ ὅπλα τὰ ἱερὰ οὐδὲ καταλείψω τὸν παραστάτην[1]. 2. Ἀμυνῶ δὲ καὶ ὑπὲρ ἱερῶν καὶ μόνος καὶ μετὰ πολλῶν. 3. Καὶ τοῖς νόμοις τοῖς ἱδρυμένοις ἐμμενῶ καὶ οὕστινας ἄλλους ἱδρύσεται ὁ δῆμος." 4. Οἱ τοῦτον τὸν ὅρκον ποιησάμενοι οὐ διαφθεροῦσι τὴν πόλιν. 5. Οἱ δὴ πολῖται ἐλπίζοντες αὐτοὺς μήτε μιανεῖν τὰ ἱερὰ μήτε σφαλεῖν τοὺς ἀεὶ ἄρχοντας λέγουσιν· 6. „Ἐμμένοντες, ὦ ἔφηβοι, τοῖς νόμοις εὐφρανεῖτε τοὺς γονέας καὶ οὐκ αἰσχυνεῖσθε τοὺς πολίτας."

[1] ὁ παραστάτης *букв.* стоящий возле, соратник

C, Περὶ Γαΐου Μουκίου

1. Γάϊος Μούκιος εἰς τὸ τῶν Τυρρηνῶν στρατόπεδον εἰσῆλθεν ὡς ἀποκτενῶν Πορσίναν, τὸν βασιλέα αὐτῶν. 2. Καίπερ γὰρ ἀνδρείως μαχόμενοι οἱ Ῥωμαῖοι οὐκ ἠμύναντο τοὺς πολεμίους. 3. Τῶν δὲ κατασκόπων τις ἤγγειλεν ῥᾳδίαν εἶναι τὴν εἰς τὸ στρατόπεδον εἴσοδον. 4. Ὁ δὴ Μούκιος ἐσθῆτα ἔχων Τυρρηνικήν, περιελθὼν τὸν βασιλέα καθεζόμενον ἐν βήματι σὺν ὀλίγοις τῶν περὶ αὐτόν, ἄρας τὴν χεῖρα μαχαίρᾳ ἔκτεινε τὸν τοῦ Πορσίνα γραφέα, ὃν διὰ τὴν πολυτελῆ ἐσθῆτα ἐνόμιζεν βασιλέα εἶναι. 5. Ὀλοφυραμένων δὲ πάντων οἱ μὲν στρατιῶται συνέλαβον Μούκιον, ὁ δὲ Πορσίνας αὐτίκα κρῖναι βουλόμενος αὐτὸν ἤρετο, τίς εἴη καὶ διὰ τί ἀποκτείνειε τὸν ἄνδρα. 6. Μούκιος δὴ πρῶτον μὲν ἀπεκρίνατο οὐδέν, προὔτεινε δὲ τὴν δεξιὰν εἰς ἐσχαρίδα[1] τινὰ ἐκεῖ οὖσαν καὶ οὕτως διέφθειρεν. 7. Τότε δὲ φήνας τὴν δεξιάν· „Τριακόσιοι, ἔφη, ὦ βασιλεῦ, πλὴν ἐμοῦ πειράσονται περᾶναι, οὗ ἐγὼ ἀπέτυχον. 8. Ἐγὼ δ' οὔτ' ἄχθομαι τῇ τύχῃ διαμαρτών σου, ἥδομαί τε οὐ μιάνας ἐμαυτὸν τῷ ἀνδρὸς ἀγαθοῦ αἵματι, ὃς φίλος μᾶλλον ἢ πολέμιος Ῥωμαίοις εἶναι ἄξιός ἐστιν." 9. Ὁ τοίνυν Πορσίνας οὐδὲν ἐχαλέπηνεν, ἀλλ' ἀπέστειλεν αὐτὸν εἰς Ῥώμην καὶ διαλλαγεὶς τοῖς Ῥωμαίοις ἐπανῆλθεν εἰς τὴν ἑαυτοῦ ἀρχήν. 10. Οὕτως οὖν ὁ Μούκιος ἀμαχεὶ[2] ἐκάθηρε τὴν πατρίδα τῶν πολεμίων.

[1] ἡ ἐσχαρίς, ίδος жаровня [2] *без боя*

43

A

1. ʽΟ δοῦλος τὴν αὐλήν[1] κεκάθαρκεν.	ʽΗ αὐλὴ κεκάθαρται.
2. a) Τοῖς ξένοις τὰ ἱερὰ πεφάγκαμεν.	Τὰ ἱερὰ αὐτοῖς πέφανται.
b) Οἱ ξένοι τὰ ἱερὰ πεφάγκασιν.	Τὰ ἱερὰ αὐτοῖς (= ὑπ' αὐτῶν) πέφανται.
3. Τὸ μαντεῖον τὸν Κροῖσον ἔσφαλκεν.	Κροῖσος νικήσειν ἐλπίζων ἔσφαλτο.
4. ʽΟ κακοῦργος αἰσχυνθεὶς ἐσιώπησεν.	Ἄγγελοι ἀπεστάλησαν ὑπὸ τοῦ ἄρχοντος.

[1] двор

B Περὶ Φιλοκτήτου

1. Φιλοκτήτης μετὰ τοῦ στρατεύματος εἰς Τροίαν πλέων τραύματι οὕτως ἐπιέζετο, ὥστε ἡμέρας καὶ νυκτὸς σφόδρα ὠλοφύρετο. 2. Διὰ τοῦτο ὑπὸ κήρυκος αὐτῷ ἠγγέλθη, ὅτι μόνον καταλείψουσιν (-λείψοιεν) αὐτὸν οἱ Ἕλληνες ἐν νήσῳ ἐρήμῳ (ἐρήμῃ). 3. ʽΟ δὲ ἥρκὼς τὴν κεφαλὴν πρὸς οὐρανὸν ἀνατεταμέναις ταῖς χερσὶ τοῖς θεοῖς τιμωρήσειν ηὔξατο. 4. Ἀλλὰ τῆς ἐλπίδος σφαλεὶς ἔμενεν ἐν τῇ νήσῳ ἐννέα ἔτη. 5. Χρησμὸς δ' ἦν τοῖς Ἕλλησιν, ὅτι Τροία οὐ νικηθήσεται ἄνευ τῶν Φιλοκτήτου τοξευμάτων. 6. Ὀδυσσεὺς οὖν καὶ Νεοπτόλεμος ἀπεσταλμένοι ὑπὸ τοῦ στρατεύματος εἰς τὴν νῆσον ηὗρον αὐτὸν σχεδὸν μαινόμενον ὑπ' ἀλγῶν. 7. Καὶ πρῶτον μὲν δόλῳ ἀφελέσθαι αὐτὸν τὰ τοξεύματα ἐπεχείρησαν, ἔπειτα δὲ ὁ Νεοπτόλεμος ᾐσχυμμένος τὸν δυστυχοῦντα ἐδήλωσεν αὐτῷ πάντα. 8. Τέλος δὲ Φιλοκτήτης ἑκὼν ἀκολουθήσας τοῖν δυοῖν αὐτὸς ἔφερε τῷ στρατεύματι τὰ τοξεύματα. 9. Φανέντος δ' αὐτοῦ ἥσθησαν οἱ Ἕλληνες καὶ Μαχάων ἰάσατο αὐτόν.

C 1. Διὰ τὸ διεσπάρθαι τὸ στράτευμα οὐκ ἔστι διώκειν τοὺς πολεμίους. 2. Δημοσθένους τοῦ ῥήτορος εἰπόντός πρὸς Φωκίωνα· „Ἀποκτενοῦσί σε Ἀθηναῖοι, ἐὰν μανῶσιν", οὗτος „Ναί, εἶπεν, σὲ δέ, ἂν σωφρονῶσιν." 3. Ζήνων δοῦλον κλέψαντα ἐκόλαζεν. τοῦ δ' εἰπόντος· „ Πέπρωταί[1] μοι κλέψαι", „Καὶ δαρῆναι", ἔφη. 4. Κλεομένης τὸν μὲν Ὅμηρον Λακεδαιμονίων εἶναι ποιητὴν ἔφη, τὸν δ' ʽΗσίοδον τῶν εἱλώτων· τὸν μὲν γάρ, ὡς χρὴ πολεμεῖν, τὸν δέ, ὡς χρὴ γεωργεῖν παρηγγελκέναι.

5. Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν[2] σοφοί·
αὐτοὶ δ' ὅταν σφαλῶμεν, οὐ γιγνώσκομεν.
6. Λόγος μανέντος εἰς ὕδωρ σπαρήσεται.
7. ʽΟ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται.

[1] суждено, на роду написано [2] νουθετέω наставлять, увещевать

44

A 1. a) Θεραπευτέοι εἰσὶν οἱ θεοί. Di colendi sunt.
b) Θεραπευτέον ἐστὶ τοὺς θεούς. Должно чтить богов.
2. a) Τοῦτο ποιητέον ἐστίν. Hoc faciendum est.
b) Τοῦτο ἐμοὶ οὐ ποιητέον ἐστίν. Hoc mihi non faciendum est.

3. Οἱ ἄνθρωποι εὖ ποιητέοι εἰσίν. 4. Ὁ ποταμός ἐστιν ἡμῖν διαβατέος. 5. Τοὺς φίλους εὐεργετητέον, τὴν πόλιν ὠφελητέον, τῶν βοσκημάτων ἐπιμελητέον. 6. Ἡ ἀρετὴ πᾶσι τοῖς ἀνθρώποις ἀσκητέα ἐστίν (τὴν ἀρετὴν ... ἀσκητέον). 7. Ἥλιος ἀνίκητος = Sol invictus. 8. Οὗτοι μὲν οἱ παῖδες παιδευτοί εἰσιν, ἐκεῖνοι δὲ ἀπαίδευτοι.

B 1. Τὸν Παρθενῶνα ἰδὼν νομιεῖς τὸ κάλλιστον πάντων τῶν ἱερῶν ἰδεῖν. 2. Ἀπόλλων καὶ Ποσειδῶν Λαομέδοντι τῷ Τροίας βασιλεῖ ὑπέσχοντο τειχιεῖν τὴν πόλιν. 3. Ἐὰν ἡμῖν χαρίσησθε, ἀντιχαριούμεθ' ὑμῖν. 4. Ὁ στρατηγὸς ἤλπισεν ἐπισιτιεῖσθαι πᾶν τὸ στράτευμα. 5. Δῆλοί ἐστε οὔποτ' ἔτι ὑβριοῦντες τοὺς θεούς. 6. Ἐπεὶ σαλπίζει, ἀναχωροῦμεν. — Ἐπεὶ ἐσάλπιγξεν, ἀνεχωρήσαμεν. 7. Οἶνον σπείσομεν τοῖς θεοῖς. 8. Οἱ Λακεδαιμόνιοι ἐσπείσαντο τοῖς Ἀθηναίοις.

C 1. Ἀκηκόαμεν τοὺς τοῦ κυρίου λόγους, οὓς ἤδη οἱ ἡμέτεροι πρόγονοι ἠκηκόεσαν. 2. Ἔνιοι τῶν Ῥωμαίων ἐβούλοντο ὀρύξαι τάφρον διὰ τοῦ Ἰσθμοῦ, ἣ νῦν ὀρώρυκται. 3. Ἀνοίξατε τὴν θύραν. — Νῦν ἀνέῳκται. 4. Εἰ μὴ ὁ νεὼς ἀνοιχθείη, οὐκ ἂν οἷοί τε εἶμεν εἰσελθεῖν. 5. Εἰ μὴ ἑωρῶμεν τὸν κύνα εἰθισμένον θηρᾶσαι παντοῖα θηρία, οὐκ ἂν ἐωνούμεθα αὐτόν.

45

A 1. Ἐγὼ μὲν οὐ δίδωμι, ἵνα σὺ διδῷς, σὺ δὲ δίδως, ἵνα ἐγὼ διδῶ. 2. Τῶν ἐπιτηδείων μέρος διαδίδομεν τοῖς φίλοις. 3. Κῦρος Κλεάρχῳ δίδωσι μυρίους δαρεικούς. 4. Ἀγαθοὶ ἄνθρωποι τοῖς πένησι μεταδιδόασι τῶν χρημάτων. 5. Μὴ προδίδοτε τοὺς ἑταίρους, ἵνα μὴ δίκην διδῶτε. 6. Ἐν τῇ στρατείᾳ οἱ λοχαγοὶ τοῖς στρατιώταις τὴν λείαν διεδίδοσαν. 7. Τὸν ἡδέως διδόντα θεὸς φιλεῖ. 8. Ὁ βασιλεὺς τῷ τῶν πολεμίων στρατηγῷ ἀργύριον ἐδίδου, ἐκεῖνος δ' οὐκ ἐδέξατο. 9. Ἆρ' ἀρκεῖ ὑμῖν τὰ διαδιδόμενα; 10. Μὴ ἀποδίδοσο, ὃ ἐγώ σοι ἔδωκα. 11. Τῶν Μουσῶν ξενισθεισῶν ὑφ' Ἡροδότου ἑκάστη ἀντὶ φιλοξενίας μίαν αὐτῷ ἔδωκε βίβλον. 12. Οὐ φοβοῦμαι, μὴ οὐκ ἔχω ὅ, τι δῶ ἑκάστῳ, ἂν εὖ γένηται, ἀλλὰ μὴ οὐκ

ἔχω ἱκανούς, οἷς δῶ. 13. Εἰ γὰρ ἡμῖν παραδοῖεν οἱ πολέμιοι τοὺς αἰχμαλώτους. 14. Τὰ Καίσαρος ἀπόδοτε Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. 15. Χεὶρ χεῖρα νίζει[1]· δός τι καὶ λαβέ τι. 16. Σωκράτει οἱ Ἀθηναῖοι ἔδοσαν τὸ κώνειον[2] πιεῖν. 17. Ἀπόδου τὰ περισσεύοντα[3]. 18. Οἱ στρατιῶται πρόσθεν ἂν ἀποθάνοιεν ἢ τὰ ὅπλα παραδοῖεν. 19. Иисус к ученикам: Ὑμῖν τὸ μυστήριον δέδοται τῆς βασιλείας τοῦ θεοῦ. 20. Ἐπὶ τῷ Γρανικῷ, ἐπεὶ τὸ τῶν Περσῶν μέσον ἐνεδεδώκει, ἐγένετο φυγὴ καρτερά. 21. Ἐθίζου χαίρειν ἐκείνοις τοῖς ἔργοις, ἐξ ὧν αὐτός τε ἐπιδώσεις καὶ τοῖς ἀνθρώποις κρείττων εἶναι φανῇ.

22. Ἡ δοῦσα πάντα καὶ κομίζεται[4] τύχη.

23. Ὡς μέγα τὸ μικρὸν ἐστιν ἐν καιρῷ δοθέν.

[1] νίζω мою, умываю [2] τὸ κώνειον цикута, болиголов [3] περισσεύω излишествовать, быть в избытке [4] κομίζομαι беру себе, отбираю

B 1. Κῦρον λέγουσιν ἐν δείπνῳ, ἐπεὶ ἑώρα πολλὰ τὰ κρέα, εἰπεῖν· „Ἦ καὶ δίδως, ὦ πάππε, πάντα ταῦτά μοι τὰ κρέα ὅ, τι ἂν βούλωμαι αὐτοῖς χρῆσθαι;“ „Νὴ Δία, εἰπεῖν, ἔγωγέ σοι.“ Ἐνταῦθα δὴ τὸν Κῦρον λαβόντα τῶν κρεῶν διαδιδόναι τοῖς ἀμφὶ τὸν πάππον θεραπευταῖς ἐπιλέγοντα ἑκάστῳ· „Σοὶ μὲν τοῦτο δίδωμι, ὅτι προθύμως με ἱππεύειν διδάσκεις, σοὶ δ' ὅτι μοι ἀκόντιον ἔδωκας, σοὶ δ' ὅτι τὸν πάππον καλῶς θεραπεύεις, σοὶ δ' ὅτι τὴν μητέρα μου τιμᾷς.“ Τοιαῦτα ἐποίει, ἕως διεδίδου πάντα ἃ ἔλαβε κρέα.

2. Στρατόνικος ὁ κιθαρῳδὸς ἀκούσας ποτὲ ἄλλου κιθαρῳδοῦ ἔφη· „Τῷ δ' ἕτερον μὲν ἔδωκε πατήρ, ἕτερον δ' ἀνένευσε.“ Καί τινος ἐρομένου· „Τὸ ποῖον;“ ἔφη· „κακῶς μὲν κιθαρίζειν ἔδωκεν, ᾄδειν δὲ καλῶς ἀνένευσε.“

* 3. Γραφομένων ποτὲ τῶν ὀστράκων[1] λέγεταί τινα τῶν ἀγραμμάτων καὶ παντελῶς ἀγροίκων ἀναδόντα τῷ Ἀριστείδῃ τό ὄστρακον ὡς ἑνὶ τῶν τυχόντων παρακαλεῖν, ὅπως Ἀριστείδην ἐγγράψειε. Τοῦ δὲ θαυμάσαντος καὶ πυθομένου, μή[2] τι κακὸν αὐτὸν Ἀριστείδης πεποίηκεν, „Οὐδέν,“ εἶπεν, „οὐδὲ γιγνώσκω τὸν ἄνθρωπον, ἀλλ' ἐνοχλοῦμαι[3] πανταχοῦ τὸν Δίκαιον ἀκούων.“ Ταῦτα ἀκούσαντα τὸν Ἀριστείδην ἀποκρίνασθαι μὲν οὐδέν, ἐγγράψαι δὲ τοὔνομα τῷ ὀστράκῳ καὶ ἀποδοῦναι.

[1] τὸ ὄστρακον черепок [2] не сделал ли чего-л. [3] мне противно



Воины несут погибшего соратника. Фрагмент рисунка на лаконском блюде, ок. 530 г.

*Спартанская строевая песнь

Ἄγετ', ὦ Σπάρτας εὐάνδρου
κοῦροι[1] πατέρων πολιητᾶν[2],
λαιᾷ[3] μὲν ἴτυν προβάλεσθε,
δόρυ δ' εὐτόλμως[4] πάλλοντες[5]
μὴ φειδόμενοι τᾶς ζωᾶς·
οὐ γὰρ πάτριον τᾷ Σπάρτᾳ.

* *в дор.* ᾱ *часто вместо* η [1] ὁ κοῦρος (κόρος) adulescens [2] πολιητᾶν *gen.plur.* к πολιήτης = πολίτης гражданин [3] λαιός laevus, левый; ἡ ἴτυς щит, обод щита [4] εὐτόλμως смело [5] πάλλω трясти, махать

46

A 1. Ὁ δίκαιος νομοθέτης νόμους τίθησι τοιούτους, οὓς ἢ ὀψὲ ἢ παντάπασιν οὔποτε μετατιθέναι δεῖ. 2. Οἱ Ἕλληνες τὸν ἥλιον ἐν τοῖς θεοῖς τιθέασιν. 3. Μὴ ἐπιτίθει ζημίαν μηδενί, πρὶν ἂν ἀκούσῃς. 4. Ὅστις ἀφικνεῖτο τῶν παρὰ βασιλέως πρὸς Κῦρον, πάντας οὕτω διατιθεὶς ἀπεπέμπετο, ὥστε αὐτῷ μᾶλλον φίλους εἶναι ἢ βασιλεῖ. 5. Νῦν μὲν οὐχ ἡμῖν ἐπιτίθενται οἱ πολέμιοι, φοβοῦμαι δέ, μὴ ἐν βραχεῖ ἐπιτιθῶνται. 6. Τὸ ἀργύριον οὐκ εἰς τὸ ἴδιον κατεθέμην ἐμοί, ἀλλ' εἰς ὑμᾶς ἐδαπάνων. 7. Φοβοῦμαι, μή δίκην μοι ἐπιθῇς. — Ἐφοβούμην, μὴ δίκην μοι ἐπιθεῖτε. 8. Οἱ φυγάδες εἰς πλοῖον τὰ πλείστου ἄξια ἐνθέμενοι ἀποπλέουσιν. 9. Ὁ στρατηγὸς ἐκέλευσε τοὺς στρατιώτας τὰς ἀσπίδας πρὸς τὰ γόνατα θέντας μεῖναι αὐτοῦ[1]. 10. Κελεύσαντος τοῦ ἡγεμόνος θέσθαι τὰ ὅπλα ἔθεντο τὰ ὅπλα. 11. Φυλάττεσθε, μὴ ὑμῖν τῆς νυκτὸς ἐπιθῶνται οἱ βάρβαροι. 12. Θαυμάζοντός τινος τὰ ἐν Σαμοθρᾴκῃ ἀναθήματα Διογένης· „Πολλῷ ἂν ἦν πλείω“, ἔφη, „εἰ καὶ οἱ μὴ σωθέντες ἀνετίθεσαν.“ 13. Τῷ σῷ ὅρκῳ μηδὲν προσθῇς. 14. Ἀνδρείως ἐπίθου τοῖς διαβαλοῦσιν. 15. Τὸ Πολυνείκους σῶμα ὑπὸ τῶν Θηβαίων τοῖς κυσὶ προὐτέθη.


16. Τῆς ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν[2] ἔθηκαν.

[1] *наречие* [2] *с gen.* раньше, прежде

B **Περὶ τοῦ Διὸς τοῦ ἐν Ὀλυμπίᾳ**

Μέγιστον τῶν ἐν Ὀλυμπίᾳ ἀναθημάτων ὁ τοῦ Φειδίου Ζεὺς ἦν, ὃς ἐκάθητο (καθῆστο) ἐπὶ θρόνου. Ὑπὸ δὲ τῷ τῆς Νίκης ἀγάλματι ἀσπὶς ἀνέκειτο χρυσῆ, ἐφ'

ἧ ἐγέγραπτο, ὥς φησι Παυσανίας, τὰ ὀνόματα τὰ τῶν ἀναθέντων καὶ δι' ἣν αἰτίαν ἀνέθεσαν. Καὶ πολλὰ ἄλλα ἐπιγράμματα ἔλεγε παμπόλλους Ἕλληνας ἀναθέσθαι τρίποδας καὶ ξίφη καὶ ἄλλα τοιαῦτα. Νῦν δ' ἐκ πολλοῦ χρόνου Ὀλυμπίασιν οὐδεὶς ἀνέθηκεν οὐδὲν οὐδ' ἀναθήσει οὐδεὶς πώποτε, ἀλλὰ πάντα τὰ ἐκεῖ ἱερὰ τὰ μὲν σεισμοῖς[1] τῆς γῆς, τὰ δὲ ὑπὸ τῶν πολεμίων ἐπιχειμένων τοῖς Ἠλείοις κατεστραμμένα ἐπὶ γῆς κεῖται καί, ὡς εἰκός, ἀεὶ κείσεται.



Медная монета из Олимпии с изображением статуи Зевса работы Фидия

Ὦ ξεῖν', ἀγγέλλειν[2] Λακεδαιμονίοις, ὅτι τῇδε
κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.
(Надгробная надпись павшим при Фермопилах)

[1] **землетрясение** [2] *inf. pro imperativo*

47

А 1. Τῶν Μένωνος στρατιωτῶν ξύλα σχίζων τις, ὡς εἶδε Κλέαρχον διελαύνοντα, ἵησι τῇ ἀξίνῃ[1]. 2. Ἓξ στόμασιν ὁ Ἴστρος εἰς τὸν Εὔξεινον Πόντον ἐξίησιν. 3. Πολλοὶ τῶν ἐμῶν φίλων ἑλληνίζειν[2] συνιᾶσιν· εἶθε κἀγὼ συνίειν. 4. Φθέγξαι σαφέστερον, ὦ ἑρμηνεῦ, οὐ γὰρ συνίεμεν. 5. Κῦρος ἰδὼν βασιλέα ἵετο ἐπ' αὐτόν. 6. Ὤφελες ἐφίεσθαι τῆς ἀληθείας. 7. Μὴ ἐφίεσο, ὧν[3] ἄλλοι κέκτηνται. 8. Τοῦ μώρου ἐστὶ τὸν καιρὸν παριέναι (παρεῖναι). 9. Δύο παῖδες ἐν τῷ γυμνασίῳ ἠκόντιζον· συνέβη δὲ τὸν μὲν ἕτερον ἀφεῖναι τὸ βέλος, τὸν δ' ἕτερον εἰς τὸ ἀφεθὲν ἀκόντιον δραμόντα πληγῆναι. 10. Εἴθε μὴ ἀνεῖτε, ὦ δικασταί, τὸν ἀνόσιον.


Одиссей, убивающий женихов.
Аттический скифос, ок. 435 г.

11. Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφειλέταις ἡμῶν *(Матф. 6, 12)*. 12. Τῷ τὴν ἀσπίδα προεμένῳ αἰσχύνη εἵπετο. 13. Ἑκὼν προῆκα πάντα τὰ χρήματα ἀντὶ τῆς σοφίας. 14. Εἰ ἐφίεσο τῆς ἀρετῆς, ἄσμενος ἂν σοι ὑφιέμην. 15. Ὁπότε Ὀδυσσεὺς βέλος ἀφείη, ἔβαλλεν ἕνα τῶν μνηστήρων.[4] 16. Ὁπόταν τις ὑπὸ Σκύλλης παριῆται, ἁρπασθήσεται ὑπὸ Χαρύβδεως. 17. Τοξεύματ' οὐκέτι μοι ὑπάρχει· πάντα γὰρ ἀφεῖκα. 18. Μετὰ τὴν μάχην πάντα τὰ βέλη μοι ἀφεῖτο. 19. Ἐπεὶ αἱ νῆες κατηγάγοντο εἰς λιμένα, αἱ ἄγκυραι μεθείθησαν. 20. Σχολαστικὸς[5] ἐν τῷ πλῷ χειμῶνος δεινοῦ ὄντος καὶ τῶν οἰκετῶν κλαιόντων· „Μὴ κλαίετε", ἔφη, „πάντας γὰρ ὑμᾶς ἐν διαθήκαις[6] ἐλευθέρους ἀφῆκα."

[1] топор [2] говорить по-гречески [3] = τούτων, & § 121а [4] ὁ μνηστήρ жених
[5] σχολαστικός книжный, ученый [6] ἡ διαθήκη завещание

B 1. Δέδοικα (δέδια) περὶ τῶν θεῶν διαλέγεσθαι. 2. Οὐκ ἐπίομεν τοῦ οἴνου, ὅτι ἐδεδοίκεμεν (ἐδέδιμεν), μὴ ἐν τῷ κρατῆρι φάρμακα ἐνείη. 3. Οὐκ ἐθέλει ἐλθεῖν πρὸς τὸν διδάσκαλον δεδιώς, μὴ δίκην οἱ ἐπιθῇ.

48

A 1. Οἶδα ὅτι θνητός εἰμι. — Οἶδα θνητὸς ὤν. — Ἴσμεν ὅτι οἱ ἄνθρωποι θνητοί εἰσιν. — Ἴσμεν τοὺς ἀνθρώπους θνητοὺς ὄντας. 2. Ἆρ' οὐκ οἶσθα, ὅτι ὁ ἄδικος οὔποτ' εὐδαιμονήσει; 3. Οὐκ ἴστε, ὅ, τι ποιεῖτε. 4. Εἴ τις ἐθέλοι ἐν τῇ τάξει μένων ἀμύνεσθαι τοὺς πολεμίους καὶ μὴ φύγοι, εὖ ἴστε ὅτι ἀνδρεῖος ἂν εἴη. 5. Ἀρίστιππος ἐρωτηθεὶς ὑπὸ Διονυσίου τοῦ τυράννου, διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι[1], ἔφη· „Ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δ' οὐκ ἴσασιν." 6. Ὅπως εἰδῆτε, εἰς οἷον ἔρχεσθε ἀγῶνα, ὑμᾶς εἰδὼς διδάξω. 7. Οἱ Ἕλληνες οὐκ ᾔδεσαν Κῦρον τετελευτηκότα. 8. Χάριν ὑμῖν εἴσομαι καὶ ἀποδώσω. 9. Σωκράτης συνῄδει ἑαυτῷ οὐδὲν εἰδώς (εἰδότι). 10. Ἀναξαγόρας ὁ Κλαζομένιος περὶ φύσεως τοῖς γνωρίμοις διαλεγόμενος, ἀπαγγείλαντός τινος τὴν τοῦ υἱοῦ τελευτήν, μικρὸν ἐπισχὼν πρὸς τοὺς παρόντας εἶπε· „Ἤιδειν θνητὸν γεννήσας."

[1] *здесь:* нет

B Περὶ λέοντος καὶ μυός

Λέοντος κοιμωμένου μῦς τῷ στόματι ἐπέδραμεν. Ὁ μὲν οὖν συλλαβὼν αὐτὸν ἔμελλε καταφαγεῖν, ὁ δὲ μῦς ᾔτησεν αὐτὸν ἀφεῖναί ἑ, λέγων ὅτι ἀφεθεὶς χάριν αὐτῷ ἀποδώσει. Γελάσας[1] οὖν ὁ λέων αὐτὸν ἀφῆκε. Συνέβη[2] δ' αὐτὸν μετ' οὐ πολὺ τῇ τοῦ μυὸς χάριτι σωθῆναι. Ἐπειδὴ γὰρ ζωγρηθεὶς ὑπό τινων κυνηγετῶν κάλῳ[3] ἐδέθη ἐπί τινι δένδρῳ, ὁ μῦς ἀκούσας αὐτοῦ στένοντος προσελθὼν τὸν κάλων περιέτραγε[4] καὶ λύσας ἔφη· „Σὺ μὲν οὖν τότε μου κατεγέλασας οὐ προσδοκῶν παρ' ἐμοῦ ὠφεληθήσεσθαι. Νῦν δ' ἴσθι, ὅτι ἐστὶ καὶ παρὰ μυσὶ χάρις."

[1] ἐγέλᾰσα *aor.act. от* γελάω [2] *aor. от* συμβαίνει [3] ὁ κάλως, -ω веревка, канат
[4] τρώγω, *aor.* ἔτραγον грызу

49

A 1. Ζεὺς πάντα τὸν κόσμον καθίστησι καὶ κοσμεῖ. 2. Οἱ μὲν νῦν 'Αθηναῖοι εἰκόνας τοῖς θεοῖς οὐκέτι ἱστᾶσιν, οἱ δὲ πρόγονοι αὐτῶν ἔν τε ταῖς ὁδοῖς καὶ ἐν τοῖς ἱεροῖς πλείστας εἰκόνας ἵστασαν. 3. 'Ιστῶμεν τρόπαιον, ἔνθα πρότερον οἱ πολέμιοι τρόπαιον ἵσταντο. 4. 'Ο ἱππεύς, εἰ χόρτον εὕροι ἐν τῇ ὁδῷ, ἵστη τὸν ἵππον. 5. Εἰ τούς πολεμίους ἀλλήλων διίστατε, ὑμετέρα ἂν ἦν ἡ νίκη. 6. Εἰ θεός βούλοιτο, ἐφισταίη ἂν τὸν ἥλιον. 7. Κύρος στήσας τὸ ἅρμα ἔπεμψε Πίγρητα τὸν ἑρμηνέα. 8. 'Εὰν ἔχω πᾶσαν τὴν πίστιν ὥστε ὄρη μεθιστάναι, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι[1]. 9. Κῦρος ὑπέσχετο δώσειν τὸν μισθὸν ἐντελῆ, μέχρι ἂν καταστήσῃ τοὺς Ἕλληνας εἰς 'Ιωνίαν πάλιν. 10. 'Ο ἥλιος τὰς ὥρας διακρίνων καὶ καλῶς πάντα καθιστὰς πᾶσαν τὴν οἰκουμένην κοσμεῖ. 11. Οἱ 'Επτὰ περιιστάντες τὸν στρατὸν περὶ τὰς Θήβας ἤλπιζον ἐκπολιορκήσειν αὐτάς. 12. Μιλτιάδης καὶ Θεμιστοκλῆς τὴν 'Ελλάδα ἐλευθερώσαντες ἔντιμον τὴν πατρίδα κατέστησαν. 13. Οἱ Θηβαῖοι Οἰδίποδα ἐστήσαντο τύραννον. 14. Σοφοκλέους ἥρωος γενομένου εἰκών ἐν τῷ θεάτρῳ ἐστάθη. 15. Εἰκόνες καὶ στῆλαι τῶν ἐνδόξων ἀνδρῶν καὶ ὕστερον σταθήσονται. 16. Πρὸς τὸν ἀξιοῦντα δημοκρατίαν ἐν τῇ πόλει καταστήσασθαι ὁ Λυκοῦργος ἅτε Λακεδαιμόνιος ὢν εἶπεν· „Σὺ πρῶτος ἐν τῇ σῇ οἰκίᾳ κατάστησαι δημοκρατίαν."

B 1. 'Εν Κουνάξοις οἱ Ἕλληνες οὐ πρότερον ἢ τῇ μετὰ τὴν μάχην ἡμέρᾳ ἐπύθοντο, ὅτι Κῦρος τέθνηκε. 2. Εἰ μὴ ῥᾳθύμως ὁ στρατηγὸς τοὺς ἡμετέρους πολίτας εἰς μάχην ἤγαγεν, οὐκ ἂν ἐτέθνασαν (ἐτεθνήκεσαν). Νῦν δὲ τεθνᾶσιν (τεθνήκασιν). 3. 'Εν τοῖς ἐπιταφίοις λόγοις ἔδει τιμᾶν τοὺς τεθνηκότας, ἵνα, ἣν ζῶντες ἐκτήσαντ' εὐδοξίαν, αὕτη καὶ τεθνεῶσιν (τεθνηκόσιν) αὐτοῖς ἀποδοθείη. 4. Κασσάνδρα μέλλουσα ἀποθανεῖν ἥσθη οὐκ ἄτιμος τεθνήξουσα.

5. ('Αλλ') ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι (= τεθνάναι)
τὸν εὐγενῆ χρή.

[1] *1-е Кор. 13,2*

50

A 1. Δαρεῖος Κῦρον τῆς Λυδίας προΐστησι. — Κῦρος τῆς Λυδίας προΐσταται.

2. Σκιπίων ἀπέστησε Μασσανάσσην τῶν Καρχηδονίων. — Μασσανάσσης ἀπέστη τῶν Καρχηδονίων.

3. Οἱ Λακεδαιμόνιοι ἀπέστησαν τοὺς Λεσβίους τῶν 'Αθηναίων. — Οἱ Λέσβιοι ἀπέστησαν τῶν 'Αθηναίων.

Οἰδίποδος τεθνεῶτος ᾿Ετεοκλῆς προέστη τῶν Θηβῶν. Πολυνείκους δ᾿ ἐρίζοντος τῷ βασιλεύοντι ἀδελφῷ ἐκεῖνος οὐκ ἔφη μεταδώσειν αὐτῷ τῆς ἀρχῆς, ὥστε διέστησαν ἀμφότεροι. ῾Ο οὖν νεώτερος μάτην πειραθείς ἀφιστάναι τοῦ ἀδελφοῦ τοὺς Θηβαίους ἀπῆλθεν εἰς ῎Αργος πρὸς ῎Αδραστον, οὗ τὴν θυγατέρα ἀγαγὼν γυναῖκα ἐδεήθη[1] αὐτοῦ παραστῆναι αὐτῷ. Καὶ ὁ ῎Αδραστος παρεσκευάσατο στράτευμα, οὗ ἑπτὰ στρατηγοὶ ἀντιστησόμενοι τῷ ᾿Ετεοκλεῖ ἡγοῦντο. ᾿Επεὶ δ᾿ αφίκοντο ἔμπροσθεν τῶν Θηβῶν, περιστάντες ἐπολιόρκησαν τὴν πόλιν. Πολυνείκης δ᾿ ἐπεμελήθη, ὅπως ἕκαστος τῶν ἑπτα στῇ (σταίη) πρὸ μιᾶς τῶν ἑπτὰ πυλῶν. ᾿Επιθέμενοι οὖν οἱ ᾿Αργεῖοι πρῶτον μὲν ἐνικήθησαν, ἔπειτα δὲ παρασκευασαμένων αὐτῶν αὖθις ἐπιθέσθαι κῆρυξ τῶν Θηβαίων ἐκ τοῦ τείχους τάδε ἐκήρυξεν· „Καταστήσεται ᾿Ετεοκλῆς εἰς μονομαχίαν πρὸς τὸν ἀδελφόν, καὶ ὁπότερος ἂν νικήσῃ, τούτου ἔσται ἡ βασιλεία. ῾Υμεῖς δ᾿, ὦ ἄνδρες ᾿Αργεῖοι, ἔκστητε τῆς γῆς τῆς ἡμετέρας.“ ῾Ομολογησάντων δὲ τῶν ᾿Αργείων τὼ Οἰδίποδος παῖδε μονομαχήσαντε ἀπεκτεινάτην ἀλλήλω τοῖς ξίφεσι, καὶ ἐβασίλευσε Κρέων. Οἱ δὴ ᾿Αργεῖοι ᾤχοντο ἀποχωρήσαντες.



Полиник подкупает Эрифилу. Аттический сосуд, ок. 450 г.

[1] *aor. от* δέομαι

C 1. Πρὸ τοῦ ᾿Αθήνησι Παρθενῶνος εἰκὼν ἕστηκε τῆς θεᾶς. 2. Πρόσθε τῶν θυρῶν ἑστᾶσι (= ἑστήκασι) φύλακες. 3. Τῶν ᾿Αθηνῶν ἐννέα ἄρχοντες προέστασαν (= προειστήκεσαν). 4. Μετὰ τὴν τῶν ῾Επτὰ στρατείαν Κρέων προειστήκει τῆς πόλεως. 5. Πρέπει τὸν προεστῶτα (= προεστηκότα) τῆς πόλεως ἐπιμελεῖσθαι τῆς σωτηρίας. 6. ᾿Αποθανόντων τῶν ἀδελφῶν ᾿Αντιγόνη ἐδάκρυεν ἑστῶσα (= ἑστηκυῖα) καὶ ὠδύρετο. 7. Τῷ Διογένει ἡλιουμένῳ[1] ᾿Αλέξανδρος ὁ Μακεδὼν ἐπιστὰς ἔφη· „Αἴτησόν με, ὃ θέλεις.“ Καὶ ὅς· „Μικρόν, ἔφη, ἀπὸ τοῦ ἡλίου μετάστηθι.“ 8. „Δός μοι, ποῦ στῶ, καὶ κινῶ τὴν γῆν.“ (Архимед).

[1] ἡλιόομαι греться на солнце

* D

Περὶ λύκου καὶ ἀρνός

Λύκος θεασάμενος ἄρνα ἔκ τινος ποταμοῦ πίνοντα, τοῦτον ἐβούλετο μετά τινος εὐλόγου[1] αἰτίας καταφαγεῖν. Διὸ στὰς ἀνωτέρω ᾐτιᾶτο[2] αὐτὸν ὡς θολοῦντα[3] τὸ ὕδωρ και πίνειν αὐτὸν οὐκ ἐῶντα. Τοῦ δὲ λέγοντος, ὡς οὐ δυνατόν, αὐτοῦ ἑστῶτος κάτω, ἐπάνω ταράττειν τὸ ὕδωρ, ὁ λύκος ἀποτυχὼν ταύτης τῆς αἰτίας

ἔφη· „ Ἀλλὰ πέρυσι[4] τὸν πατέρα μου ἐλοιδόρησας“. Εἰπόντος δ' ἐκείνου οὐδέπω τότε γενέσθαι ὁ λύκος ἔφη πρὸς αὐτόν· „Κἂν σὺ ἀπολογιῶν εὐπορῇς[5], ἐγώ σε οὐχ ἧττον κατέδομαι[6].“

[1] εὔλογος, ον правдоподобный [2] αἰτιάομαι обвинять [3] θολόω мутить
[4] πέρυσι в прошлом году [5] εὐπορέω τινός *антоним* ἀπορέω τινός [6] *fut.* от κατεσθίω

51

A Περὶ Ἀλκιβιάδου

Ἀλκιβιάδης ὁ Κλεινίου τό τε σῶμα καὶ τὸν νοῦν καλὸς ἐπεφύκει. Ἀποθανόντος δὲ τοῦ πατρὸς παῖδ' ἔτι ὄντα Περικλῆς ἐπαίδευσε τὸν Ἀλκιβιάδην γνοὺς καλὸν κἀγαθὸν αὐτὸν ὄντα. Τοῦτο δὲ ἐν βραχεῖ ἔγνω μὲν ὁ τῶν Ἀθηναίων δῆμος, ἔγνωσαν δὲ καὶ τῶν ἄλλων Ἑλλήνων πολλοί, καὶ ἐπῄνεσαν αὐτὸν ὡς δεινότατον λέγειν ὄντα. Ἀλλὰ καὶ τὸ ἐν πολλῇ ἀκολασίᾳ βιῶναι οἱ μὲν ἐμέμψαντο αὐτῷ, οἱ δ' ἐγέλασαν. Καίπερ δὲ γνώριμος ὢν τὸ γένος ὅμως οὐκ ᾐδέσθη πρὸς ἄλλους τ' ἄνδρας δημότας[1] καὶ δὴ καὶ πρὸς Σωκράτη φιλίαν ποιεῖσθαι. Ἐκπλευσομένου δὲ στόλου ἐκ τοῦ Πειραιῶς εἰς Σικελίαν οἱ ἐναντίοι ἐπεκάλεσαν αὐτῷ, ὅτι οἱ Ἀθήνησιν Ἑρμαῖ περιεκόπησαν καὶ τὰ' Ελευσίνια κατεγελάσθη ὑπ' αὐτοῦ καίπερ τετελεσμένου καὶ τῶν φίλων αὐτοῦ. Ἀλκιβιάδης δὲ μετὰ δυοῖν ἄλλοιν ἐπισταθεὶς τῷ στόλῳ ἀπέπλευσε μὲν εἰς Σικελίαν, ὀλίγῳ δ' ὕστερον μετεκλήθη οἴκαδε. — Ἐνέβη δὴ εἰς ναῦν, ὡς ἐκελεύσθη, ἀλλ' ἀφικόμενος εἰς Θουρίους ἐκβὰς πρῶτον μὲν ἀπεκρύψατο, ἔπειτα δ' ἔφυγε πρὸς τοὺς πολεμίους. Ἐν δὲ τούτῳ ὁ μὲν τῶν Ἀθηναίων στόλος ἡττήθη τῶν πολεμίων ἐν τῷ Συρακουσῶν λιμένι καὶ πολλαὶ νῆες κατέδυσαν, τὸ δὲ στράτευμα νικηθὲν ἑάλω. Ὀλίγοι μὲν ἀποδράντες τοὺς πολεμίους ἐσώθησαν, οἱ δὲ πολλοὶ δεδεμένοι κομισθέντες εἰς λιθοτομίας[2] ἀπέθανον καὶ κατεκλαύθησαν (κατεκλαύσθησαν) ὑπὸ τῶν οἴκοι. Ἀλκιβιάδη δ' οὐκ ἤρκεσε συμβουλεῦσαι τοῖς πολεμίοις, ἀλλὰ τὴν πατρίδα μέγιστ' ἔβλαψεν, ἵνα γνῶσιν (γνοῖεν), ὅτι ἐπικίνδυνόν ἐστιν αὐτὸν ἔχειν ἐχθρόν. Ὅμως δὲ πάλιν στρατηγὸς τῶν Ἀθηναίων γενόμενος ἔτυχε νικήσας τοὺς πολεμίους ἀποκλεισθέντας τῶν συμμάχων καὶ ἄλλα πολλὰ συμφέροντα ποιήσας τῇ πατρίδι. Τέλος δὲ τῆς στρατηγίας κατελύθη καὶ φοβούμενος, μὴ ὑπὸ τῶν ἐχθρῶν ἁλῷ (ἁλοίη), φυγὼν πρὸς τοὺς Πέρσας ἐφονεύθη. — Πολλοῖς ἔτεσιν ὕστερον οἱ Ῥωμαῖοι σῶμα αὐτῷ ἔχεαν ἐν τῇ ἀγορᾷ.

[1] δημότης человек из народа, согражданин [2] ἡ λιθοτομία каменоломня

B 1. Δὶς εἰς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης. 2. Πάντα ῥεῖ. 3. Οἱ Ἀθηναῖοι θάνατον Σωκράτους κατέγνωσαν. — Θάνατος Σωκράτους κατεγνώσθη.

4. Ὕβρις κακὸν μέγιστον ἀνθρώποις ἔφυ.

5. Οὔ τοι συνέχθειν[1], ἀλλὰ συμφιλεῖν[2] ἔφυν.

[1] *от* ἐχθρός [2] *из каких частей состоит слово?*

52

A 1. Οἱ δοῦλοι ἐπίμπλασαν τοὺς κρατῆρας. 2. Ἡ κώμη ἐνεπλήσθη ξένων. 3. Οἱ βάρβαροι ἐμπιμπράντες τὰς οἰκίας ἡμᾶς σφόδρα ἐξέπληξαν, ἀλλὰ ᾐδέσθησαν καὶ τὰ τῶν θεῶν ἱερὰ ἐμπρῆσαι. 4. Ὀνινὰς τοὺς τεχνίτας ὀνήσεις καὶ τὴν τέχνην· ἐὰν δὲ τὴν τέχνην ὀνινῆτε, ὀνήσεσθε καὶ αὐτοί. 5. Ἐπιστάμεθα Μυσούς, ὅτι ἐν βασιλέως χώρᾳ πολλάς τε καὶ εὐδαίμονας πόλεις οἰκοῦσιν. 6. Κῦρος ὁ νεώτερος ἠπίστατο χάριν εἰδέναι τε καὶ ἀποδοῦναι. 7. Τοὺς φυγόντας ἐπίστασθε, ὅτι οὔπω ἀποδεδράκασιν. 8. Οὐ δύναται οὐδ' ὁ βασιλεὺς τὸ ψεῦδος ἀληθὲς ποιεῖν. 9. Οἱ στρατιῶται ἀνεπαύοντο οὐ δυνάμενοι καθεύδειν ὑπὸ λύπης. 10. Πῶς ἂν δυναίμεθα σῴζεσθαι; 11. Δημάρατος ἔν τινι συνεδρίῳ[1] ἐρωτώμενος, πότερον διὰ μωρίαν ἢ δι' ἀπορίαν λόγων σιωπῴη· „Ἀλλ' ὅ γε μῶρος οὐκ ἂν δύναιτο σιωπᾶν", ἔφη. 12. Κακῶς ἐποίεις τὴν ἐμὴν χώραν, ὅ, τι ἐδύνω. 13. Ταῦτα πάντες ἐπιστάμεθα, ὅτι βασιλεὺς καὶ Τισσαφέρνης, οὓς μὲν ἐδυνήθησαν, ἐζωγρήκασιν ἡμῶν, τοῖς δ' ἄλλοις δῆλον ὅτι ἐπιβουλεύουσιν, ὡς, ἢν δύνωνται, διαφθείρωσιν. 14. Τίς οὐκ ἂν ἄγαιτο Πλάτωνα τῆς σοφίας; 15. Ἀγάμεθα πάντες τὰ τῶν θεῶν ἔργα. 16. Τὸ στράτευμα ὁ σῖτος ἐπιλείπει, καὶ πρίασθαι τὰ ἐπιτήδεια οὐ δυνησόμεθα. 17. Ξενοφῶν ἐνεθυμεῖτο, ὅτι τῶν ἀγαθῶν οὐδενὸς τοῖς Ἕλλησι μετείη, εἰ μὴ πρίαιντο· ὅτου δ' ὠνήσονται, ᾔδει ἔτι ὀλίγους ἔχοντας.

18. Πόλλ' ἠπίστατο ἔργα, κακῶς δ' ἠπίστατο πάντα.

[1] τὸ συνέδριον **заседание, совет**

B 1. Σκεπτέον μοι δοκεῖ εἶναι, ὅπως ὡς ἀσφαλέστατα ἄπιμεν καὶ ὅπως τὰ ἐπιτήδεια ἕξομεν. 2. Τοῦτο ποιήσαντες ἀσφαλέστατα ἂν ἀπίοιμεν. 3. Νῦν ἀπιόντας ποιεῖν δεῖ τὰ δεδογμένα. 4. Ἐμπιμπρὰς τὴν πυρὰν ἄπιθι ὡς τάχιστα (= τὴν ταχίστην). 5. Ἐπεὶ ἐσάλπιγξεν, προβαλόμενοι τὰ ὅπλα ἐπῆσαν. 6. Ὅταν ἀπίωμεν ἀπὸ τοῦ διδασκάλου, σοφώτεροί ἐσμεν. 7. Παρελήλυθεν ὁ καιρὸς καὶ ἀεὶ παρελεύσεται, ἐὰν μὴ βούλησθε πράττειν. 8. Ἐγώ φημι ταῦτα φλυαρίας[1] εἶναι. — Διὰ τί φῂς ταῦτα φλυαρίας εἶναι; 9. Ποῖον ἔφησθα ἄνδρα Ἀλκιβιάδην εἶναι; 10. Οἱ στρατιῶται οὐκ ἔφασαν ἰέναι τοῦ πρόσω. 11. Εἴ τις τὸν Σωκράτη φαίη πεπαιδευκέναι τὴν πατρίδα, οὐκ ἂν σφάλλοιτο. — 12. Ἐξὸν εἰρήνην ἔχειν ἄνευ αἰσχύνης αἱρεῖται πολεμεῖν. 13. Οὐχὶ ἐσώσαμέν σε οἷόν τε ὂν καὶ δυνατόν. 14. Κατακείμεθα ὥσπερ ἐξὸν ἡσυχίαν ἄγειν.

15. Ἓν δέ σοι μόνον προφωνῶ[2]· μὴ 'πὶ δουλείαν ποτὲ
ζῶν ἑκὼν ἔλθῃς, παρόν σοι κατθανεῖν[3] ἐλευθέρῳ.

[1] ἡ φλυαρία болтовня, шутки [2] приказывать [3] = κατα-θανεῖν = ἀπο-θανεῖν

C 1. Δημῶναξ φάσκοντός τινος· „Ἀπίωμεν εἰς τὸ Ἀσκληπιεῖον[1] καὶ προσευξώμεθα τῷ θεῷ", „Πάνυ, ἔφη, κωφὸν[2] ἡγῇ τὸν Ἀσκληπιόν, εἰ μὴ δύναται κἀνθένδε ἡμῶν εὐχομένων ἀκούειν;"

2. Παιδάρητος οὐκ ἐγκριθεὶς[3] εἰς τοὺς τριακοσίους, ἥτις ἐν Σπάρτῃ πρωτεύουσα[4] τιμὴ ἦν, ἱλαρὸς[5] καὶ μειδιῶν ἀπῄει. Ἀνακαλεσαμένων δ' αὐτὸν τῶν ἐφόρων καὶ πυνθανομένων, διότι γελᾷ, εἶπε· „Διότι συγχαίρω[6] τῇ πόλει τριακοσίους κρείττονάς μου πολίτας ἐχούσῃ."

3. Ἀρίστιππος ἐρωτήσαντός τινος αὐτόν, πόσον αἰτοίη μισθὸν ὑπὲρ τῆς τοῦ τέκνου παιδεύσεως· „Χιλίας, ἔφη, δραχμάς." Τοῦ δ' „Ἡράκλεις", εἰπόντος, „ὡς ὑπέρπολυ τὸ αἴτημα[7], δύναμαι γὰρ ἀνδράποδον χιλίων πρίασθαι". „Τοιγαροῦν, εἶπε, δύο ἕξεις ἀνδράποδα, καὶ τὸν υἱὸν καὶ ὃν ἂν πρίῃ."

4. Διογένης ἡμέρας ποτὲ λύχνον[8] ἅψας περιῄει. Πυνθανομένων δέ τινων· „Πρὸς τί τοῦτο;" ἔλεγεν ἄνθρωπον ζητεῖν.

[1] храм Асклепия [2] κωφός немой, глухой [3] ἐγκρίνω избираю, включаю
[4] πρωτεύω первенствую [5] ἱλαρός радостный [6] *буквально!* [7] *от какого глагола?*
[8] ὁ λύχνος лампа, светильник

53

A 1. Δείκνυ τοῖς τυφλοῖς τὴν ὁδόν. 2. Τῶν στρατηγῶν τις ἀνέστη ἐπιδεικνύς, ὡς χαλεπὸν εἴη ὑπερβῆναι τὰ ὄρη. 3. Κατ' ἐνιαυτὸν οἱ Ἀθηναῖοι ἐννέα ἄνδρας ἀπεδείκνυσαν ἄρχοντας. 4. Δεῖξον τὸ σὸν πρόσωπον. 5. Ἐνδείκνυσο περὶ τῶν μεγίστων σπουδάζων. 6. Τὸ ψῦχος πήγνυσι τὸ ὕδωρ. 7. Θέρους τὸ γάλα ταχέως πήγνυται. 8. Ξέρξης τὸν Ἑλλήσποντον γεφύρᾳ ἔζευξεν. 9. Μαρτυροῦσιν οἱ παλαιοὶ θεόλογοί τε καὶ οἱ μάντεις, ὡς διά τινας τιμωρίας ἡ ψυχὴ τῷ σώματι συνέζευκται καὶ ὥσπερ ἐν σήματι[1] τέθαπται. 10. Ὄμνυμι θεοὺς πάντας καὶ πάσας. 11. Οἱ Θηβαῖοι συνεκάλεσαν ἀπὸ τῶν πόλεων ἀπασῶν ἀκουσομένους τῆς παρὰ βασιλέως ἐπιστολῆς, καὶ ὁ Πέρσης ὁ φέρων τὰ γράμματα δείξας τὴν βασιλέως σφραγίδα ἀνέγνω τὰ γεγραμμένα· τότε οἱ μὲν Θηβαῖοι ὀμνύναι ταῦτα ἐκέλευον βασιλεῖ καὶ ἑαυτοῖς τοὺς βουλομένους φίλους εἶναι, οἱ δὲ ἀπὸ τῶν πόλεων ἀπεκρίναντο, ὅτι οὐκ ὀμούμενοι ἀλλ' ἀκουσόμενοι πεμφθείησαν. Ὡς οὖν οὐκ ἠθέλησαν[2] ὀμόσαι, ἔπεμπον οἱ Θηβαῖοι πρέσβεις ἐπὶ τὰς πόλεις, ὀμνύναι

κελεύοντες ποιήσειν κατὰ τὰ βασιλέως γράμματα. 12. Τὰ ὕδατα καὶ οἱ χειμῶνες κατέαξαν· (ἔρρηξαν) τὴν γέφυραν, κατεάγησαν (ἐρράγησαν) δὲ καὶ πολλαὶ νῆες, ὧν ἔνιαι νῦν ἔτι κατεάγασιν (ἐρρώγασιν). 13. Θαλῆς τοῖς Μιλησίοις, ὅτε ὁ ἥλιός ποτε κατασβεσθῆναι (κατασβῆναι) ἔδοξε, προὔδειξεν. 14. Ἀλέξανδρος ἤλπιζεν κερᾶν (μείξειν) τοὺς Μακεδόνας τοῖς Πέρσαις. 15. Ἡττηθέντες μὲν σκεδασθησόμεθα διὰ τῆς χώρας, νικήσαντες δὲ χρυσοῦν θώρακα ἀνακρεμῶμεν τῷ Διί. 16. Οἱ ἱππεῖς ἐφ' ἵππων κρέμανται φοβούμενοι οὐ μόνον τοὺς πολεμίους, ἀλλὰ καὶ τὸ καταπεσεῖν. 17. Ἀπόλλων λέγεται ἐκδεῖραι Μαρσύαν νικήσας ἐρίζοντά οἱ περὶ σοφίας καὶ τὸ δέρμα κρεμάσαι ἔν τινι ἄντρῳ.

[1] σῆμα *здесь:* могила [2] *aor. от* ἐθέλω

B 1. Κόλακες τοὺς ἄρχοντας πολλάκις ἀπολλύασιν (ἀπώλεσαν, ἀπολοῦσιν). 2. Πολλὰ τῶν ὑποζυγίων ἀπώλετο ὑπὸ λιμοῦ. 3. Ἐν τῇ ὑπερβολῇ τῶν ὀρῶν τῇ εἰς τὸ πεδίον δύο λόχοι ἀπώλοντο. 4. Οὕτως γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν τὸν μονογενῆ[1] ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. 5. Ἐπῄνει Σπαρτιάτης τὸ ἔπος Ἡσιόδου τὸ λέγον· „οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη.“ Διογένης δ' ἀκούσας· „Καὶ μήν, ἔφη, Μεσσήνιοι καὶ οἱ βόες αὐτῶν ἀπολώλασι, καὶ ὑμεῖς αὐτῶν ἐστε οἱ γείτονες.“

6. Ἐπιμελήθητε, ὅπως ἀντὶ τῶν ἀπολωλότων ὡς τάχιστα στρατηγοὶ καὶ λοχαγοὶ ἀντικατασταθῶσιν· ἡ γὰρ ἀταξία πολλοὺς ἤδη ἀπολώλεκεν.

7. Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος[2].

8. Πολλοὺς δ' ὁ θυμὸς ὁ μέγας ὤλεσεν βροτῶν[3] ἥ τ' ἀξυνεσία[4], δύο κακὼ τοῖς χρωμένοις.

9. Ὣς ἀπόλοιτο καὶ ἄλλος, ὅτις[5] τοιαῦτά γε ῥέζοι[6].



Запряжка коней в колесницу. Аттическая гидрия, ок. 500 г.

[1] μονογενής единородный [2] ἀνώμοτος не давший клятвы [3] βροτός смертный [4] ἀξυνεσία неразумие [5] = ὅστις [6] ῥέζω делать

* C Ἀναγιγνώσκωμεν ἐπιστολήν!

Πολυκράτης τῷ πατρὶ χαίρειν. Καλῶς ποιεῖς, εἰ ἔρρωσαι καὶ τὰ λοιπά σοι κατὰ γνώμην[1] ἐστίν. Ἐρρώμεθα δὲ καὶ ἡμεῖς. Πολλάκις μὲν γέγραφά σοι παρα-

γενέσθαι καὶ συστῆσαί[2] με, ὅπως τῆς ἐπὶ τοῦ παρόντος σχολῆς[3] ἀπολυθῶ. Καὶ νῦν δέ, εἰ δυνατόν ἐστιν καὶ μηδέν σε τῶν ἔργων κωλύει, πειράθητι ἐλθεῖν εἰς τὰ 'Αρσινόεια[4]. 'Εὰν γὰρ σὺ παραγένῃ, πέπεισμαι ῥᾳδίως με τῷ βασιλεῖ συςταθήσεσθαι. Γίγνωσκε δέ με ἔχοντα παρὰ Φιλωνίδου[5] ἑβδομήκοντα δραχμάς· ἀπὸ τούτου τὸ μὲν ἥμισυ εἰς τὰ δέοντα[6] ὑπελιπόμην, τὸ δὲ λοιπὸν εἰς τὸ δάνειον[7] κατέβαλον. Γράφε δ' ἡμῖν καὶ σύ, ἵνα εἰδῶμεν, ἐν οἷς εἶ[8]. 'Επιμέλου δὲ καὶ σαυτοῦ, ὅπως ὑγιαίνῃς καὶ πρὸς ἡμᾶς ἐρρωμένος ἔλθῃς. Εὐτύχει.


(Письмо ок. 255 г. до н.э., относится ко времени Птолемея II; написано, вероятно, в Александрии).

[1] по твоему желанию [2] συστῆσαι (τῷ βασιλεῖ) представить [3] мой теперешний досуг [4] *праздник в честь Арсиноu, умершей сестры и супруги царя* [5] *брат Поликрата* [6] для жизненных нужд [7] τὸ δάνειον ссуда; *имеется в виду возврат ссуды* [8] in quibus (condicionibus) sis

54

А 1. 'Ηρακλῆς τὰ μέγιστα πεπραχέναι λέγεται. 2. Οἱ πρέσβεις ἔλεγον, ὅτι Λακεδαιμόνιοι πολλὰ πεπραγότες εἶεν παρὰ βασιλέως. 3. 'Εν Σάρδεσιν τετρακισχίλιοι ὁπλῖται συνειλεγμένοι ἦσαν, συνειλόχει δ' αὐτοὺς ὁ Ξενίας. 4. Ἆρ' ὁ γέρων ἤγρετο; — Οὐκ, ἀλλὰ καθεύδει· ἢ ἐγείρωμεν αὐτόν; — 'Εάσατ' αὐτὸν καθεύδειν, πολλὰ γὰρ ἤδη ὑπὲρ ἡμῶν ἠγρηγόρει καὶ ἐγρόμενος αὖθις ὠφελήσει ἡμᾶς, ὥσθ' ἡσθησόμεθα αὐτῷ. 5. 'Ιδού, ὁ ἔλαφος ἀποφεύγει· ἐπίσπου αὐτῷ, ὦ κυνηγέτα, ἐὰν γὰρ αὐτῷ ἐπίσπῃ, θηράσεις αὐτόν. 6. Τὸν προδότην οἱ πολῖται ἐκβαλοῦσιν. — 'Ο προδοὺς τὴν πόλιν ὑπὸ τῶν πολιτῶν ἐκπεσεῖται ἐκ τῆς πόλεως. 7. Εἰπόντος τινὸς τῶν στρατιωτῶν πρὸς Πελοπίδαν· „'Εμπεπτώκαμεν εἰς τοὺς πολεμίους", „Τί οὐ μᾶλλον, ἔφη, ἐκεῖνοι ἐμπεπτώκασιν εἰς ἡμᾶς"; 8. Ὄρνις χρυσοῦν ᾠὸν τετοκυῖα οὐκ ἀεὶ ᾠὰ τέξεται. 9. Λύκος τῇ νυκτὶ πεποιθὼς τοῖς προβάτοις πλησιάζει. 10. 'Εν τῇ τῶν Κυκλώπων νήσῳ 'Οδυσσεὺς τὴν ναῦν οὐκ εἰς τὴν γῆν εἵλκυσεν, ὅτι ἀνειλκυσμένης τῆς νεὼς οὐ ῥᾳδίως ἀποφεύξεσθαι (ἀποφευξεῖσθαι) ὑπώπτευεν. 11. Δαρεῖος τῶν χρημάτων τὰ πολλὰ ἐπεπόμφει εἰς Δαμασκόν, ὥστε ἐν τῷ στρατεύματι οὐ πλείονα ἢ τρισχίλια τάλαντα ἑάλω. 12. Διογένης θεασάμενός ποτε τοὺς ταμίας[1] τινὰ φιάλην[2] κεκλοφότα ἄγοντας ἔφη· „Οἱ μεγάλοι κλέπται μικρὸν ἄγουσιν." 13. Οἱ τριάκοντα τὴν πολιτείαν ἀνατετρόφασιν. 14. Νύμφαι τὸν Δία παῖδ' ὄντα τῷ τῆς 'Αμαλθείας γάλακτι ἀνετετρόφεσαν. 15. 'Ο ναύτης σ' εἰς τὸν Πειραιᾶ κομιεῖ καὶ ἐκεῖ ἐκβιβᾷ.

[1] ὁ ταμίας казначей [2] ἡ φιάλη чаша



Гермес приводит умершую к Харону.
Аттический белофигурный лекиф, ок. 450 г.

B 1. Οὐχ ἡμῖν μόνοι γεγονότες (γεγενημένοι) δῆλοί ἐσμεν, ἀλλὰ καὶ τοῖς πλησίον. Ὅθεν Δημοσθένης λέγει· „Τῇ πατρίδι γεγενήμεθα“. 2. Ἀλέξανδρος τριάκοντα τρία ἔτη γεγονὼς ἀπέθανεν. 3. Ὀβολὸν εἰς τὸ στόμα οἱ Ἕλληνες κατετίθεσαν τῷ τεθνεῶτι μισθὸν τῷ Χάρωνι τῆς ναυτιλίας[1] γενησόμενον. 4. Ἢν τριῶν ἡμερῶν ὁδὸν ἀπόσχωμεν, οὐκέτι βασιλεὺς ἡμῖν ἕψεται. 5. Ὦ παῖ, ἀπόσχου τούτου τοῦ οἴνου· ἄκρατος γάρ ἐστιν. 6. Ὁ ἵππος τὴν τοῦ καμήλου ὄψιν ἀνασχέσθαι οὐ δύναται. 7. Ἐὰν ἀνάσχησθε τοὺς πολεμίους πολλῇ κραυγῇ προσιόντας, τὴν νίκην ἕξεσθε. 8. Πᾶσι τοῖς πολίταις μεθεκτέον[2] ἐστὶ τῶν πραγμάτων. 9. Τίς ἂν ποτε ἀνάσχοιτο αἰσχρὰ περὶ τῶν γονέων ἀκούων;

[1] ἡ ναυτιλία лодочная переправа [2] μετέχω τινός принимать участие

C 1. Ὅταν σπάσῃ τὸ πνεῦμα ὁ ἄνθρωπος εἰς ἑαυτόν, εἰς τὸν ἐγκέφαλον[1] πρῶτον ἀφικνεῖται καὶ οὕτως εἰς τὸ λοιπὸν σῶμα σκεδάννυται ὁ ἀὴρ καταλελοιπὼς ἐν τῷ ἐγκεφάλῳ τὴν ἑαυτοῦ ἀκμὴν[2] καὶ ὅ, τι ἂν ᾖ φρόνιμόν τε καὶ γνώμην ἔχον. (Гиппократ о дыхании).

2. Περικλῆς τελευτήσων τοῖς φίλοις ἔφη θαυμάζειν, ὅτι τὰ μὲν πολεμικὰ ἔργα ἐπαινοῦσιν αὐτοῦ καὶ μνημονεύουσιν[3], ἃ γέγονεν ἤδη πολλοῖς στρατηγοῖς, τὸ δὲ κάλλιστον καὶ μέγιστον οὐ λέγουσιν· „Οὐδεὶς γάρ, ἔφη, δι' ἐμὲ τῶν Ἀθηναίων μέλαν ἱμάτιον ἠμφιέσατο.“

[1] ὁ ἐγκέφαλος мозг; *буквально?* [2] ἡ ἀκμή вершина, острие, цветение [3] упоминают

55

A

Περὶ τῶν πρὸ Σωκράτους φιλοσόφων

Σχεδὸν πάντες οἱ νῦν ἄνθρωποι φιλοσοφεῖν μεμαθήκασιν παρὰ τῶν Ἑλλήνων καί, ὡς εἰκός, μαθήσονται. Καίπερ γὰρ δεινῶς ηὐξημένων τῶν γραμμάτων τε καὶ

τῶν τεχνῶν ὅμως τὰ πρῶτα στοιχεῖα[1] εἴληπται ἐκ τῆς τῶν Ἑλλήνων φιλοσοφίας. Πρῶτοι μὲν οἱ Μιλήσιοι τὴν τοῦ παντὸς ἀρχὴν πεπύσθαι ἔλεγον ἢ ὕδωρ εἶναι, ὥσπερ ἔλεγε Θαλῆς, ἀέρα ὥσπερ Ἀναξιμένης, ἢ ὥσπερ Ἀναξίμανδρος ἄπειρον. Ἡράκλειτος δὲ ὁ Ἐφέσιος ἐκ πυρὸς τὸν κόσμον γεγενῆσθαι νομίζων ἐδίδασκεν πάντα ἀεὶ ῥεῖν καὶ ῥυήσεσθαι καὶ οὔποτε καμεῖσθαι. Πυθαγόρας αὖ[2] ὁ Σάμιος τοὺς ἀνθρώπους ἀθανάτους ἔλεγεν εἰληχέναι τὰς ψυχὰς μεταβησομένας, ὅταν ἁμάρτωσιν, εἰς φαυλότερα ζῷα, ἵνα δίκας τείσωσι, ὅταν δ' εὐσεβῶσιν, εἰς ἀμείνονα ἀφιξομένας. Ἔτι δὲ οἱ Πυθαγόρειοι τὸν ἀριθμὸν ἀρχὴν εἶναι ἐνόμιζον. Ἐναντιούμενοι δὲ τῷ Ἡρακλείτῳ οἱ Ἐλεᾶται οὐ κινεῖσθαι τὰ τῆς φύσεως πάντα, ἀλλὰ ἠρεμεῖν[3] ἀπεφαίνοντο. Πάντα δὲ συνεστηκέναι[4] ἐκ σπερμάτων ἀπείρων τὸ πλῆθος[5] Ἀναξαγόρας ἔλεγεν ὁ Κλαζομένιος, ταῦτα δὲ τὰ σπέρματα κινεῖσθαι τῷ νῷ. Δημόκριτος αὖ ὁ Ἀβδηρίτης ἀπέδειξε παντὶ χρήματι ἐλάχιστα μέρη ὑποκεῖσθαι οὐκέτι τμηθῆναι οἷά τε ὄντα, ἃ διὰ τοῦτο ἄτομα ὠνόμασεν.

[1] τὰ στοιχεῖα первооснова, элементы [2] αὖθις [3] покоиться, быть в состоянии покоя [4] составляться, происходить [5] τὸ πλῆθος множество

B 1. Ὅστις ἂν τῇ νεότητι σωφρόνως χρήσηται, ἀνὴρ γενόμενος ἐπαίνου τεύξεται. 2. Φωκίων ποτὲ ἐπεὶ λέγων τὴν γνώμην πρὸς τὸν δῆμον ηὐδοκίμει[1] καὶ πάντας ὁμαλῶς[2] ἑώρα τὸν λόγον ἀποδεχομένους ἐπιστραφεὶς πρὸς τοὺς φίλους εἶπεν· „Ἆρα μὴ κακόν τι λέγων ἐμαυτὸν λέληθα;" 3. Κἂν ἀνθρώπους λανθάνωμεν ἁμαρτόντες, ἀλλὰ τὸν θεόν γε οὐ λήσομεν. 4. Οἱ Πέρσαι ἐβούλοντο φθῆναι (φθάσαι) τοὺς Ἀθηναίους ἀφικόμενοι εἰς τὸ ἄστυ. 5. Ξενοφῶν συσταθεὶς Κύρῳ ἠγνόει[3], ὅτι ἐξελᾷ (ἐξελῴη) διὰ πάσης τῆς Ἀσίας. 6. Ὃς ἂν ὑπόσχηται μὲν πολλά, ἐπιλάθηται δέ, ὧν ὑπέσχηται, τούτου καὶ οἱ ἄλλοι ἐπιλήσονται. 7. Οἱ τῶν Ἑλλήνων στρατηγοὶ ληφθέντες ἀνήχθησαν ὡς βασιλέα καὶ ἀποτμηθέντες τὰς κεφαλὰς ἐτελεύτησαν. 8. Τοὺς κακούργους οἱ θεοὶ ἀποτείσαιντο. 9. Τηλέμαχος εἰς Πύλον καὶ Σπάρτην ᾔει πευσόμενος περὶ τοῦ πατρός. 10. Ὁ Κύκλωψ οὐκ ᾔσθετο ἄγαν πιών, ἀλλ' ἤλπιζε τῇ ὑστεραίᾳ αὖθις οἶνον πίεσθαι. 11. Λάθε βιώσας.

12. Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν.

[1] εὐδοκιμέω нахожу одобрение [2] ὁμαλός ровно, равномерно [3] ἀγνοέω не знаю

C Ἀφίγμεθα εἰς Λάμψακον ὑγιαίνοντες ἐγὼ καὶ Πυθοκλῆς καὶ Ἕρμαρχος καὶ Κτήσιππος καὶ ἐκεῖ κατειλήφαμεν ὑγιαίνοντας Θεμίσταν καὶ τοὺς λοιποὺς φίλους. Εὖ δὲ ποιεῖς καὶ σύ, εἰ ὑγιαίνεις καὶ ἡ μάμμη[1] σου, καὶ πάπᾳ[1] καὶ Μάτρωνι πάντα πείθῃ ὥσπερ καὶ ἔμπροσθεν. Εὖ γὰρ ἴσθι, ἡ αἰτία, ὅτι καὶ ἐγὼ καὶ οἱ λοιποὶ πάντες σε μέγα φιλοῦμεν, ὅτι τούτοις πείθῃ πάντα.

(Письмо Эпикура мальчику)

[1] *ласкательные слова, как и в русском языке*

56

A 1. Ἐμπεδοκλῆς τοὺς Ἀκραγαντίνους ἔλεγε τρυφᾶν[1] ὡς αὔριον ἀποθανουμένους καὶ οἰκοδομεῖν ὡς πάντα τὸν χρόνον βιωσομένους. 2. Ἀποδράντων ποτὲ δυοῖν στρατηγοῖν ἐκ τῆς στρατιᾶς καὶ διωκομένων ὑπὸ Κύρου οἱ μὲν ηὔχοντο ὡς δειλοὺς ὄντας αὐτοὺς ληφθῆναι, οἱ δ' ᾤκτιρον, εἰ ἁλώσοιντο. 3. Ὁ τρώσας καὶ ἰάσεται. 4. Ἀριαῖος ἐπορεύετο ἐφ' ἁμάξης; διότι ἐτέτρωτο. 5. „Ηὕρηκα“ ἐβόησεν ὁ Ἀρχιμήδης εὑρών, ἃ πολὺν χρόνον ἐσκέψατο. 6. Ἐὰν εὑρεθῶμεν ἄδικοι ὄντες, κολασθησόμεθα. 7. Из речи в честь павших воинов: Ἀναμνήσω ὑμᾶς τὴν τῶν υἱῶν ἀρετὴν καὶ οἷα πεπόνθασιν· ὑπὲρ γὰρ τῆς πατρίδος τεθνεῶτες τὸ ζῆν ἀνήλωσαν εἰς τὸ τοὺς ἄλλους καλῶς ζῆν. Ὥστε ἡμεῖς τῆς τούτων καλοκἀγαθίας ἀεὶ μνησθησόμεθα. Ἀπορῶ δέ, πόθεν ἄρξωμαι λέγων ἢ τίνος πρώτου μνησθῶ. 8. Εἰ ἐπὶ τυράννῳ γενησόμεθα, τί οἴεσθε πείσεσθαι; 9. Ἐὰν μὴ τὸ δῶρόν σοι ἀρέσῃ, ἀπόδος.

10. Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος (Солон).

[1] роскошествовать, жить в неге

B Λέων καὶ ἀλώπηξ

Λέων, γηράσας καὶ οὐ δυνάμενος δι' ἀλκῆς[1] ἑαυτῷ τροφὴν εὑρίσκειν, ἔγνω δεῖν δι' ἐπινοίας[2] τοῦτο πρᾶξαι. Καὶ δὴ παραγενόμενος εἴς τι ἄντρον καὶ ἐνταῦθα κατακλιθεὶς προσεποιεῖτο[3] τὸν νοσοῦντα καὶ οὕτω τὰ παραγενόμενα πρὸς αὐτὸν εἰς ἐπίσκεψιν[4] ζῷα συλλαμβάνων κατήσθιε. Πολλῶν δὲ θηρίων καταναλωθέντων ἀλώπηξ τὸν δόλον αὐτοῦ συνεῖσα παρεγένετο καὶ στᾶσα ἄπωθεν[5] τοῦ ἄντρου ἐπυνθάνετο αὐτοῦ, πῶς ἔχοι. Τοῦ δέ εἰπόντος· „Κακῶς“ καὶ ἐρομένου, τί παθοῦσα οὐκ εἴσεισιν, ἔφη· „Ἀλλ' ἔγωγε εἰσῆλθον ἄν, εἰ μὴ ἑώρων πολλῶν εἰσιόντων ἴχνη, ἐξιόντος δὲ οὐδενός.“

[1] отсутствие сил [2] хитрость [3] притворяться [4] посещение; *буквально?*
[5] издалека

57

A 1. Οὐ χρημάτων σοι μέλει, ἀλλὰ τῆς παρὰ τῶν ἀνθρώπων δόξης. Μελήσει δὲ κἀμοί. 2. Τῷ κακούργῳ τελευτῶντι μετεμέλησε διὰ κακίας διαγαγόντι τὸν βίον. 3. Σωκράτης ἐν τῇ ἀπολογίᾳ· „Ἀλλ', ὦ Μέλητε, ἱκανῶς ἐπιδείκνυσαι, ὅτι οὐδεπώποτε ἐφρόντισας τῶν νέων, καὶ σαφῶς ἀποφαίνεις τὴν σαυτοῦ ἀμέλειαν, ὅτι οὐδέν σοι μεμέληκε περὶ ὧν ἐμὲ εἰσάγεις.“ 4. Μέλλω ὑμᾶς διδάξειν, ὅθεν μοι ἡ διαβολὴ γέγονεν. 5. Οἱ Χάλυβες ᾖδον καὶ ἐχόρευον, ὁπότε οἱ πολέμιοι ὄψεσθαι[1] αὐτοὺς μέλλοιεν. 6. Ἀγησίλαος οὐκ ἐμέλλησεν, ἀλλ' εὐθὺς ἔθυσεν. 7. Ἐὰν μηδὲν τῶν χρημάτων μεταδιδῶτε μηδενί, κακῶς πεπαιδεῦσθαι δόξετε.
8. Начало аттической надписи: ΕΒΚΔ = ἔδοξε βουλῇ καὶ δήμῳ. 9. Νῦν ἀπιόντας δεῖ ποιεῖν τὰ δεδογμένα. 10. Κῆρυξ ἐλθὼν ἤγγειλε δεδόχθαι τοὺς ἱκέτας[1] ὑποδέχεσθαι 11. Ἆρ' οὐ δοκῶ σοι ἀληθεύειν; 12. Ὀδυσσέα μέλλοντα

περιπλεύσεσθαι Μαλέαν τὸ ἀκρωτήριον[3] οἱ ἄνεμοι ἀπέωσαν. — Ὀδυσσεὺς τοῖς ἀνέμοις ἀπεώσθη. 13. Οὐρανὸς πρῶτος τοῦ παντὸς κρατῶν ἔγημε Γῆν. 14. Οἱ Αἰγύπτου υἱοὶ ἤλπιζον γαμεῖν τὰς Δανάου θυγατέρας. 15. Ἀνδρομέδη τῷ Περσεῖ γημαμένη ἔτεκε τέτταρας υἱούς. 16. Ἐὰν μὴ φυλάξητε τὸν αἰχμάλωτον, οἰχήσεται φυγών. 17. Ἐὰν σὺ βουληθῇς (ἐθελήσῃς) μεταδιδόναι τοῖς πένησι τῶν χρημάτων, βουλησόμεθα (ἐθελήσομεν) καὶ ἡμεῖς. 18. Ἀλεξάνδρου τεθνεῶτος ἡ ἀρχὴ τέτταρσι βασιλεῦσι διενενέμητο.

[1] *fut. от* δράω [2] ὁ ἱκέτης умоляющий о защите [3] предгорья

B 1. Ὑμᾶς ἢ σιγᾶν δεήσει ἢ βοηθεῖν τοῖς βοηθείας δέουσιν (δεομένοις). 2. Κλέαρχος ὀλίγου ἐδέησε καταλυσθῆναι (ὀλίγου δεῖν κατελεύσθη). 3. Οἱ Χαλδαῖοι πένητες ὄντες μισθοῦ ἐστρατεύοντο, ὁπότε τις αὐτῶν δέοιτο. 4. Λέγεται δεηθῆναι ἡ Κίλισσα Κύρου ἐπιδεῖξαι τὸ στράτευμα αὐτῇ. 5. Τεύξεσθε, οὗτινος ἂν δέησθε. 6. Ὁ ἵππος πεσὼν ὀλίγου δεῖν τὸν ἱππέα ἀπέκτεινεν (ὀλίγου ἐδέησε ἀποκτεῖναι). 7. Τοῖς γονεῦσιν, ὡς ἐμοὶ δοκεῖν, πάντες μεγίστην χάριν ὀφείλομεν. 8. Ἀλλ' ὤφελε Κῦρος ζῆν. 9. Ἐπὶ τοῖς φίλοις ὁ Κλέαρχος ἐχάρη καὶ σὺν αὐτοῖς ᾠήθη εἶναι τίμιος. 10. Αἱ τῶν Ἀράβων οἰκίαι ἐοίκασι ταῖς Αἰγυπτίαις, ὥς φησι Στράβων. 11. Κίνδυνος, ὡς ἔοικεν, ἐστίν, μὴ οἱ σύμμαχοι οὐ μείνωσιν. 12. Δημόκριτος ἔλεγε χρῆναι ἀγαθὸν ἢ εἶναι ἢ μιμεῖσθαι. 13. Χαλεπόν ἐστι κακὰ παθεῖν ὑφ' ὧν ἥκιστα χρῆν (ἐχρῆν).

14. Οὐκ ἔστι θνητοῖσι[2] πρὸς ἀθανάτους μαχέσασθαι
οὐδὲ δίκην εἰπεῖν[3] οὐδενὶ τοῦτο θέμις[4].

[1] καταλεύω побивать камнями [2]= θνητοῖς. — ἀθάνατος *метрическое удлинение*
[3] защищаться в суде [4] позволено



Богиня луны Селена.
Рисунок на аттическом блюде, ок. 480 г.

C Ἀποφθέγματα

1. Ὑπερείδης, ἡκόντων παρ' Ἀντιπάτρου πρέσβεων ἐπαινούντων τὸν Ἀντίπατρον ὡς χρηστόν, ἀπαντήσας αὐτοῖς εἶπεν· „Ἴσμεν, ὅτι χρηστός ἐστιν, ἀλλ' ἡμεῖς γ' οὐ δεόμεθα χρηστοῦ δεσπότου.“ 2. Πέρσης τις τῶν ἀμφὶ Ξέρξην πυθόμενος τὸ ἆθλον ὂν στέφανον τοῖς Ὀλύμπια νικήσασι· „Παπαί[1]“, ἔφη, „ὦ Μαρδόνιε, ποίους ἐπ' ἄνδρας ἤγαγες μαχουμένους ἡμᾶς, οἳ οὐ περὶ χρημάτων τὸν ἀγῶνα ποιοῦνται, ἀλλὰ περὶ ἀρετῆς“. 3. Σόλων ἐρωτηθείς, πῶς ἂν ἥκιστα ἀδικοῖεν οἱ ἄνθρωποι· „Εἰ ὁμοίως“, ἔφη, „ἄχθοιντο τοῖς ἀδικουμένοις οἱ μὴ ἀδικούμενοι.“

* 4. Σελήνη ποτ' ἐδεῖτο τῆς μητρός, ὅπως αὐτῇ χιτώνιον ὑφήνῃ σύμμετρον[2]. Ἡ δ' εἶπεν· „Καὶ πῶς σύμμετρον ὑφήνω; νῦν μὲν γὰρ ὁρῶ σε πανσέληνον[3], αὖθις δὲ μηνοειδῆ, ποτὲ δ' αμφίκυρτον“.

[1] о горе! [2] подходящий; *буквально?* [3] παν-σέληνος?, μηνοειδής, ές имеющий вид месяца, серпообразный (μήν *старое индоевропейское слово для обозначения Луны, ср. лат.* mensis, *рус.* месяц), ἀμφίκυρτος закругленный с обеих сторон, серповидный

58

A 1. Οἱ Ἕλληνες εἵλοντο ἀγγέλους διαλεξομένους βασιλεῖ. 2. Σόλων ἄρχων ᾑρέθη. 3. Ἐχρῆν σε, ἐπείπερ προῄρησαι πολιτεύεσθαι, τοῦ τὴν πατρίδα βλάψαντος κατηγορεῖν. 4. Τοὺς πολεμίους τὰ ὅπλα ἀφῃρήμεθα. 5 Ὅσοι ἵππους ἀφῄρηνται, ταχέως ἄλλους κτήσονται. 6. Ὁ ἔμπορος τὴν ναῦν ἣν δυοῖν ταλάντοιν ἐώνητο, πολὺ πλεόνων ἐπώλησεν (ἀπέδοτο). 7. Τῶν Συρακοσίων πολλοὶ μετὰ τὴν τῆς πόλεως ἅλωσιν ἀποροῦντες τροφῆς δοῦλοι εἶναι ὡμολόγησαν, ἵνα πραθέντες τροφῆς παρὰ τῶν πριαμένων τύχοιεν. 8. Κῦρος ἄρκτον ποτὲ ἐπιφερομένην (ἐπενεχθεῖσαν) οὐκ ἐφοβήθη. 9. Ἐὰν τὸ αὐτὸ τῷ ἀσεβήσαντι ποιήσω, οὐδὲν αὐτοῦ διοίσω. 10. Ἑλένη πασῶν τῶν γυναικῶν διενηνοχέναι λέγεται τὴν ὄψιν. — Ἑλένη διήνεγκεν πασῶν τῶν γυναικῶν. 11. Σκεψάμενοι, ὦ ἄνδρες δικασταί, ὅ, τι ἂν ὑμῖν δοκῇ δίκαιον εἶναι, τοῦτο ψηφίσασθε. 12. Οἱ ἀμφὶ Κῦρον ἵεντο, ὥσπερ ἂν δράμοι τις ἐπὶ νίκῃ. 13. Ἐὰν Ἀριαῖος ἐνθάδε ἔλθῃ, εἰς τὸν θρόνον τὸν βασίλειον καθιοῦμεν αὐτόν. 14. Ξέρξης ἐν θρόνῳ ἐκαθέζετο (ἐκάθητο, καθῆτο) θεωρῶν τὴν ναυμαχίαν. 15. Ἄγγελλε, ὅτι Γάϊον Μάριον ἐν τοῖς Καρχηδόνος ἐρειπίοις[1] καθεζόμενον (καθήμενον) εἶδες.

[1] τὰ ἐρείπια развалины

B 1. Οὔποτε ἐρεῖ οὐδείς, ὡς ἐγὼ προδοὺς τοὺς Ἕλληνας τὴν τῶν βαρβάρων φιλίαν εἱλόμην. 2. Ἆρα σύνοισθα σαυτῷ δεινὰ εἰρηκῶς; 3. Κλέαρχος ᾔδει ἀπειρηκότας τοὺς στρατιώτας. 4. Τοσαῦτα ἡμῖν περὶ τούτου τοῦ ῥήματος εἰρήσθω. — 5. Ἐὰν ἔλθῃς εἰς Δελφούς, ὄψει ἐκεῖ τά τε ἀναθήματα καὶ Κασταλίαν τὴν πηγήν. 6. Ὁ μάντις διελέχθη περὶ τῶν ἐνυπνίων, ὧν ἔφη ἑωρακέναι (ὀπωπέναι). 7. Φωκίων ὑπ' οὐδενὸς οὔτε γελῶν ὤφθη οὔτε δακρύων. — 8. Ὁπότε τῶν Ὀδυσσέως ἑταίρων τις λωτοῦ φάγοι, τῆς πατρίδος ἐπελανθάνετο. Καὶ πολλοὶ μὲν τῶν καρπῶν ἐβεβρώκεσαν, Ὀδυσσεὺς δὲ ἐπεμελήθη, ὅπως μηδεὶς ἔτι λωτοῦ ἔδεται.

C 1. Κυμαῖος μέλι ἐπώλει. Ἐλθόντος δέ τινος καὶ γευομένου καὶ εἰπόντος, ὅτι γλυκύτατόν ἐστιν, ἔφη· „Εἰ μὴ γὰρ μῦς ἐνέπεσεν εἰς αὐτό, οὐκ ἂν ἐπώλησα“. 2. Θεόφραστος περὶ τοῦ κόλακος ὧδε γράφει· Ὁ κόλαξ τοιοῦτός τίς ἐστίν, ὥστε

τούς ἀπαντῶντας ἐπιστῆναι κελεῦσαι, ἕως ἂν ὁ κύριος παρέλθῃ. Καὶ τοῖς παιδίοις μῆλα καὶ ἀπίους[1] πριάμενος εἰσένεγκας (εἰσενεγκὼν) δοῦναι ὁρῶντος αὐτοῦ[2] καὶ φιλήσας δὲ εἰπεῖν· „Χρηστοῦ πατρὸς νεόττια[3].“ Καὶ συνωνούμενος ἐπικρηπῖδας[4] τὸν πόδα φῆσαι εἶναι εὐρυθμότερον[5] τοῦ ὑποδήματος. Καὶ πορευομένου πρός τινα τῶν φίλων προδραμὼν εἰπεῖν ὅτι· „Πρὸς σὲ ἔρχεται“, καὶ ἀναστρέψας ὅτι· „Προσήγγελκα.“

[1] ἡ ἄπιος груша [2] *буквально:* τοῦ κυρίου [3] птенец, дитя [4] голенище [5] εὔρυθμος складный, стройный

D Письмо царя Митридата Понтийского, дошедшее в надписи 88 г. до н.э.:

Βασιλεὺς Μιθραδάτης Λεωνίππῳ σατράπῃ τῆς Καρίας χαίρειν.

Ἐπεὶ Χαιρήμων Πυθοδώρου ἐχθρότατα καὶ πολεμιώτατα πρὸς τὰ ἡμέτερα πράγματα διακείμενος ἀπ' ἀρχῆς τε τοῖς ἐχθίστοις πολεμίοις ἐβοήθει, νῦν τε τὴν ἐμὴν παρουσίαν[1] ἐπιγνοὺς τούς τε υἱοὺς Πυθόδωρον καὶ Πυθίωνα ἐξέθετο[2] καὶ αὐτὸς πέφευγεν, κήρυγμα[3] ἐποίησα, ὅπως ἐάν τις ζῶντας ἐπάγῃ Χαιρήμονα ἢ Πυθόδωρον ἢ Πυθίωνα, λάβῃ τάλαντα τεσσαράκοντα, ἐὰν δέ τις τὴν κεφαλήν τινος αὐτῶν ἐνέγκῃ, λάβῃ τάλαντα εἴκοσι.

[1] присутствие [2] *подразумевается:* в безопасности [3] *от какого слова образовано?*

59

1. Τῶν ἐν Ἀργινούσαις ναυμαχησάντων στρατηγῶν Ἀρχέδαμος, ὁ τοῦ δήμου τότε προεστηκώς, καὶ ἄλλοι τινὲς κατηγόρουν. Οἱ στρατηγοὶ ἐκρίθησαν φόνου, ὅτι ἠμέλησαν τῆς τῶν ναυαγῶν ἀναιρέσεως[1].



Продажа масла. Аттическая амфора, ок. 510 г.

2. Μέλητος ᾐτιάσατο τὸν Σωκράτη τοῦ τοὺς νέους διαφθείρειν.
3. Μελήτου γραφομένου (διώκοντος) θάνατος κατεγνώσθη τοῦ Σωκράτους.
4. Σωκράτης ὁ Σωφρονίσκου ἀνδρειότερος ἦν τῶν πλείστων Ἀθηναίων καὶ δικαιότατος πάντων.
5. Θαυμάζομεν Σωκράτην τῆς ἀρετῆς, ὃς οὐ μόνον ὑπὲρ τῆς πατρίδος ἀνδρείως ἐμαχέσατο, ἀλλὰ καὶ μετὰ τῶν ἀρίστων πολλάκις ἀκριβέστατα περὶ τῆς φιλοσοφίας διελέχθη καὶ ἔργων ἀδίκων οὐδ' ὑπ' ἀμελείας οὔποθ' ἥψατο. Ἀλλ' ὅμως οὕτω περιὼν τῶν ἄλλων οὐκ ἀπέφυγε τὴν γραφήν.
6. Τοῦ ἄρχοντός ἐστιν ἀρετῇ διαφέρειν τῶν πλείστων πολιτῶν.
7. Τὸ στράτευμα ἐξήλαυνε διὰ χώρας πλήρους λίθων.
8. Ὁ πτωχὸς σίτου δέων ἐδεήθη τοῦ πλουσίου ἀνδρός, ἀλλ' ἐψεύσθη τῆς ἐλπίδος· οὐ γὰρ ἔτυχεν οὐδενός.
9. Παυώμεθα τῆς ἔριδος, ἵνα μὴ τῶν ἐχθρῶν ἡττώμεθα.
10. Ἐν τῷ τῶν δικαστῶν ὅρκῳ καὶ τοῦτο γέγραπται, τὸ ὁμοίως ἀμφοῖν ἀκροάσεσθαι.
11. Ἄκουε πάντων, ἐκλέγου δ' ἃ συμφέρει.
12. Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί.

[1] собирание тел павших в сражении и погребение их

60

Ἐκ τῶν Ξενοφῶντος Ἑλληνικῶν (I, 7)

После победного сражения при Аргинусских островах афиняне из-за поднявшейся бури не смогли предать земле тела павших. Это вызвало судебный процесс, на котором обвинителями выступили Калликсен, Ферамен и Фрасибул.

Καλλίξεινος τῶν ἐν ταῖς Ἀργινούσαις στρατηγησάντων κατηγορῶν πολλοὺς λόγους ἐποιήσατο. Ἐπὶ δὲ τούτοις Εὐρυπτόλεμος ἔλεξε τάδε· „Συμβουλεύσω ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἅ μοι δοκεῖ ἄριστα εἶναι ἁπάσῃ τῇ πόλει. Ἐπεὶ γὰρ κατέδυσαν τῶν τριήρων τινὲς αὐτοῖς ἀνδράσιν, οἱ στρατηγοὶ ἐκέλευσαν Θηραμένη καὶ Θρασύβουλον πάσῃ τέχνῃ καὶ μηχανῇ βοηθεῖν τοῖς ναυαγοῖς. Οἱ δὲ οὐκ ἐπιχειρήσαντες τῇ ἀναιρέσει ἐξ ἴσου τοῖς στρατηγοῖς αἴτιοί εἰσιν. Κρίνατε οὖν ἐπ' ἀγαθῷ τῆς πόλεως κατὰ τὸν νόμον, ὃς κελεύει, ἐάν τις τὴν πόλιν προδιδῷ, μὴ ταφῆναι ἐν τῇ Ἀττικῇ, τὰ δὲ χρήματα αὐτοῦ δημόσια εἶναι. Δικαίως οὖν κρίναντες οὐ συμπολεμήσετε Λακεδαιμονίοις τοὺς ἐκείνους νενικηκότας ἀπολλύντες ἀκρίτους παρὰ τὸν νόμον, ἀλλ' ὄνειδος ἀρκέσετε τῇ πόλει. Ἐπεὶ γὰρ οὗτοι, οὓς ὑμεῖς ἐπεστήσατε τῷ ναυτικῷ, μαχεσάμενοι τοῖς Λακεδαιμονίοις ἐκέλευσαν ἀνελέσθαι τοὺς νεναυαγηκότας, οὐκ ἀνηρέθησαν ἅτε χειμώνων ὄντων. Μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀντὶ τῆς νίκης καὶ τῆς εὐτυχίας ὅμοια ποιήσητε τοῖς ἡττημένοις

τε καὶ ἀτυχοῦσιν, ἀλλὰ πολὺ δικαιότερον ἂν εἴη στεφάνοις τιμᾶν τοὺς νικῶντας ἢ θανάτῳ ζημιοῦν πονηροῖς ἀνθρώποις πειθομένους."
Μετὰ δὲ ταῦτα ὁ δῆμος λόγῳ μὲν σπουδαίως, ἔργῳ δὲ φθονῶν τῇ τῶν στρατηγῶν δόξῃ καὶ πρὸς τούτοις ἀχθεσθεὶς (ἐπὶ) τοῖς γεγενημένοις κατεψηφίσατο αὐτῶν ὀκτὼ ὄντων. 'Αλλ' οὐ πολλῷ ὕστερον μετέμελε τοῖς 'Αθηναίοις, καὶ ὅσῳ μᾶλλον ὠνείδισαν τοῖς στρατηγοῖς, τοσούτῳ δυσμενέστερον ἐχρῶντο τοῖς κατηγορήσασιν, ὥστε Καλλίξεινος μισούμενος ὑπὸ πάντων λιμῷ ἀπέθανεν.

61

Περὶ τοῦ ἀγαθοῦ ἄρχοντος


Ὁ ἀγαθὸς ἄρχων ἀεὶ εὐεργετεῖ τοὺς πολίτας καὶ εὐλαβεῖται πᾶν ἀδίκημα. Οὐδένα δ' ἀποδείκνυσι στρατηγόν, εἰ μὴ τὸν δίκαιον. Ὅστις ἂν αὐτὸν βοήθειαν αἰτῇ, τοῦτον πάντα τρόπον ὀνίνησιν, ἀλλ' ὡς ἐπὶ τὸ πολὺ τοὺς πολίτας λανθάνει εὖ ποιῶν τινα. Καὶ οὐδένα βίᾳ ἀργύριον ἀφαιρεῖται, οὐδ' ἐὰν αὐτὸν τὰ χρήματα ἐπιλίπῃ. Ὃς μὲν ἂν αὐτὸν κολακεύῃ, τοῦτον φυλάττεται, ὃς δ' ἂν ἀδικῆται ὑπ' ἄλλων, τούτῳ ἑαυτὸν φίλον παρέχει. Ἔτι δὲ τοιοῦτός ἐστι τὴν φύσιν, οἷος δεινὸς εἶναι λέγειν καὶ πολέμου γενομένου τοὺς ἐσχάτους κινδύνους κινδυνεύειν καὶ μακρὸν χρόνον μὴ καμεῖν πορευόμενος. Οὔκουν κακῶς λέγουσι τὸν ἄρχοντα τοιοῦτον οἱ πολῖται, ἡδέως δ' ὀμνύασι τοὺς θεοὺς ἀμυνεῖσθαι πάντας τοὺς ἐχθροὺς αὐτοῦ.

62

Кир Старший о коннице
(По: Ксенофонт. Киропедия, IV, 3)

Τοῖς ἀμφ' ἑαυτὸν Κῦρός ποτε φίλιππος εἶναι ἔλεξε. „Καὶ ὑμῶν, ἔφη, δέομαι ὡς φιλιπποτάτων (-τους) γενέσθαι Ἆρ' οὐ γὰρ ἱππικὴ ἐν ὁδῷ μὲν ἡδίων ἢ τοῖν ποδοῖν χρώμενον πορεύεσθαι; Ἐκεῖνο δὲ οὐχὶ εὐπετὲς τό, ὅ, τι ἂν δέῃ ὅπλον φέρειν, τὸν ἵππον τοῦτο συμφέρειν; οὔκουν ταὐτό γ' ἐστιν ἔχειν τε καὶ φέρειν. Ἐὰν δέ τις φοβηθῇ, μὴ πεζοὶ ἔτι ὦμεν μηδέ πω ἱππεύειν ἱκανοί, ἴστω οὐδὲ τοῦτο ἀμήχανον ὄν. Ὅπου γὰρ ἂν βουλώμεθα, ἐξέσται ἡμῖν πεζοῖς εὐθὺς μάχεσθαι. Οὐδὲν γάρ, (ὡς) ἐμοὶ δοκεῖν, τῶν πεζικῶν ἀπομαθησόμεθα[1] ἱππεύειν μανθάνοντες." Κῦρος μὲν οὕτως εἶπε, Χρυσάντας δὲ τὸν βασιλέα ὀρθῶς λέγειν ἔλεξεν.

„'Αλλ' ἐγὼ μέν, ἔφη, οὕτως ἐπιθυμῶ ἱππεύειν μανθάνειν, ὡς νομίζω, ἢν ἱππεὺς γένωμαι, ἄνθρωπος ταχὺς καί, ὡς ἔπος εἰπεῖν, πτηνὸς[2] γενέσθαι. Τὸ μὲν γὰρ νῦν εἶναι ἔγωγε ἀγαπῶ θηρίον παραθέον ἰδὼν διατεινάμενος[3] φθάσαι, ὥστε ἀκοντίσαι καὶ τοξεῦσαι, πρὶν πάνυ πρόσω αὐτὸ γενέσθαι. Ἢν δ' ἱππεὺς γένωμαι, δυνήσομαι μὲν ἄνδρα ἐξ ὄψεως μήκους[4] καθαιρεῖν[5]· δυνήσομαι δὲ θηρία διώκων ἀκοντίζειν ὥσπερ ἑστηκότα. Οὐκοῦν ἢν ἱππεύειν μάθω, ὅταν μὲν ἐπὶ τοῦ ἵππου γένωμαι, τά τοῦ ἱπποκενταύρου[6] δήπου οἷός τ' ἔσομαι διαπράττειν, ὅταν δὲ καταβῶ, δειπνήσω καὶ ἀμφιέσομαι καὶ καθευδήσω ὥσπερ οἱ ἄλλοι ἄνθρωποι." Ταῦτ' εἰπὼν ὁ Χρυσάντας ἐκέλευσε τῷ Κύρῳ γράφειν[7] αὐτὸν τῶν ἱππεύειν ἐπιθυμούντων, καὶ ὁ βασιλεὺς ἡσθῆναι λέγεται.



Персидский конный воин.
Рисунок на аттическом блюде, ок. 510 г.

[1] ἀπομανθάνω τινός разучиться [2] крылатый, быстрый [3] διατείνεσθαι натягивать лук, замахиваться копьем [4] поле зрения [5] устранять [6] кентавр [7] γράφω τινά τινων включаю в списки, записываю

63

Περὶ 'Αλεξάνδρου καὶ τῶν Ἑλλήνων

'Αλέξανδρος ἔτη γεγονὼς εἴκοσι παρέλαβε τὴν βασιλείαν κινδύνους πανταχόθεν ἔχουσαν. Οὔτε γὰρ τὰ βάρβαρα γένη[1] τὴν δούλωσιν ἔφερεν ἅτε ποθοῦντα τὰς πατρίους βασιλείας, οὔτε ὁ Φίλιππος τὴν Ἑλλάδα κρατήσας τοῖς ὅπλοις ἔτυχε προσαγόμενος τοὺς Ἕλληνας. Φοβουμένων δὲ τῶν Μακεδόνων τὸν καιρὸν καὶ οἰομένων δεῖν ἀφεῖναι πάντως τὰ Ἑλληνικά, 'Αλέξανδρος ἐβούλετο κτᾶσθαι τὴν ἀσφάλειαν ὡς ἐπιθησομένων ἁπάντων, ἐὰν ὑφιέμενος ὀφθῇ τοῦ φρονήματος. 'Ηγανάκτησε δὲ ἀκούων τῶν βαρβάρων τινὰς ἀποστάντας τῆς ἀρχῆς. Ἤιδει γὰρ κίνδυνον ὄντα, μὴ καὶ ἄλλοι ἀποσταῖεν· 'Επιδραμὼν οὖν στρατῷ ἔφθη τοὺς συμμάχους αὐτῶν ἀφικόμενος πρὸς τὸν Ἴστρον καὶ κατέπαυσεν αὐτοὺς πολεμοῦντας. Καίπερ δὲ φιλέλλην ὢν Θηβαίους ἀφεστάναι πυθόμενος εὐθὺς ἦγε διὰ τῶν Θερμοπυλῶν τὸ στράτευμα ὡς ἐπιθησόμενος αὐτοῖς. Ἤιδει γὰρ ἀνίκητος ὤν. 'Ανδρειότατα δὲ μαχεσαμένων τῶν Θηβαίων περιεγένετο. Ἡ δὲ πόλις ἥλω καὶ διαρπασθεῖσα κατεσκάφη προσδοκήσαντος αὐτοῦ τοὺς Ἕλληνας ἐκπλαγέντας τῷ παρόντι πάθει ἡσυχάσειν. Καὶ ὀλίγοι μὲν ἐκ τῆς πόλεως ἔλαθον ἀποδράντες, ὑπεξελόμενος[2] δ' 'Αλέξανδρος τοὺς ἱερέας καὶ τοὺς ξένους τοὺς τῶν Μακεδόνων

ἅπαντας καὶ τοὺς ἀπὸ Πινδάρου γεγονότας τοὺς πολλοὺς τῶν πολιτῶν συλλαβὼν ἀπέδοτο εἰς τρισμυρίους γενομένους. Ἐκ δὴ τούτου τοῦ χρόνου οἱ μὲν Θηβαῖοι διετέλουν (= διῆγον, διεγίγνοντο) ἀσθενεῖς ὄντες, Ἀλέξανδρος δὲ φανερὸς ἦν ἡγούμενος τῶν Ἑλληνικῶν. Ὥστε, ἐπεὶ ᾤχετο ἀπιὼν ἐκ τῆς Ἑλλάδος ὡς πολεμήσων πρὸς τοὺς Πέρσας, *οὐδεμία τῶν ἐκεῖ πόλεων* ἔτι ἀνέστη τοῖς Μακεδόσιν. —

1. Θεοῦ διδόντος οὐδὲν ἰσχύει φθόνος,
καὶ μὴ διδόντος οὐδὲν ἰσχύει πόνος.
2. Ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων.

[1] ***имеются в виду балканские племена, покоренные Филиппом*** [2] **ὑπεξαιρεῖσθαι отбирать для себя**

64

1. В 383 г. до н.э. в Спарту прибыло посольство из Аканфа и Аполлонии с просьбой о помощи против соседнего города Олинфа в Халкидике. (По: Ксенофонт. Греческая история, V, 2 сл.)

Κλειγένης Ἀκάνθιος ἔλεξεν· „Ὦ ἄνδρες Λακεδαιμόνιοί τε καὶ σύμμαχοι, οἰόμεθα λανθάνειν ὑμᾶς πρᾶγμα μέγα φυόμενον ἐν τῇ Ἑλλάδι. Ὅτι γὰρ τῶν ἐπὶ Θρᾴκης μεγίστη πόλις Ὄλυνθός ἐστι, σχεδόν πάντες ἐπίστασθε. Οὗτοι (= οἱ Ὀλύνθιοι) τῶν μὲν μικρῶν πόλεων πολλὰς προσηγάγοντο, ἔπειτα δὲ καὶ τῶν μειζόνων προσέλαβόν τινας. Πέμψαντες δὲ καὶ πρὸς ἡμᾶς καὶ Ἀπολλωνιάτας οἱ Ὀλύνθιοι προεῖπον ἡμῖν, ὅτι, εἰ μὴ συστρατευσοίμεθα (συστρατευσόμεθα), ἐκεῖνοι[1] ἐφ' ἡμᾶς ἴοιεν (ἴασιν). Ἡμεῖς δὲ ἀπεκρινάμεθα, ὡς βουλόμεθα (βουλοίμεθα) τοῖς πατρίοις νόμοις χρῆσθαι καὶ αὐτοπολῖται[2] εἶναι. Ἴστε μέντοι, ὅτι εἰ μὴ βοηθήσει τις, ἀνάγκη καὶ ἡμῖν ἔσται μετ' ἐκείνων γίγνεσθαι. Ἠκούομεν δέ, ὡς τοῖς Ὀλυνθίοις ἐψηφισμένον εἴη (ἐψήφισται) πέμπειν πρέσβεις εἰς Ἀθήνας περὶ συμμαχίας. Ὁρᾶτε οὖν τὰ πράγματα ἐπικίνδυνα ὄντα. Ἐπεὶ γὰρ καὶ Ποτείδαιαν ἔχουσιν ἐπὶ τῷ ἰσθμῷ τῆς Παλλήνης οὖσαν, νομίζετε καὶ τὰς ἐντὸς ταύτης[3] πόλεις ὑπηκόους ἔσεσθαι αὐτῶν. Λέγονται δὲ αὗται αἱ πόλεις μάλιστα μισοῦσαι τοὺς Ὀλυνθίους ὅμως οὐ τολμῆσαι μεθ' ἡμῶν πρέσβεις πέμπειν."

Λεχθέντων δὲ τούτων οἱ Λακεδαιμόνιοι καὶ οἱ σύμμαχοι ἐψηφίσαντο βοηθήσειν ταῖς πόλεσιν. Καὶ ἀναστάντες αὖθις οἱ Ἀκάνθιοι ἔλεξαν, ὅτι καλῶς ἐψηφίσασθε (ψηφίσαιντο, ἐψηφίσαντο) καὶ ἐπεῖπον, ὅτι ἄριστον ἂν εἴη (ἔφασαν ἄριστον ἂν εἶναι) ὡς τάχιστα στρατιὰν ἐπὶ τοὺς Ὀλυνθίους πέμψαι. Ὃ δὴ καὶ ἐγένετο.

2. Λέγει που Ἡράκλειτος, ὅτι πάντα χωρεῖ καὶ οὐδὲν μένει, καὶ ποταμοῦ ῥοῇ ἀπεικάζων[4] τὰ ὄντα λέγει, ὡς δὶς ἐς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης.

[1] ***имеется в виду подлежащее главного предложения*** [2] **граждане независимого государства** [3] ***подразумевается: из Паллены*** [4] **ἀπεικάζω уподоблять**

65

A

1. Ἆρα (ἦ) δίκαια ποιεῖς;	Οὐκ οἶδα, εἰ δίκαια ποιεῖς.
2. Τίς σοι ἐβοήθησεν;	Ἀγνοεῖς, τίς (ὅστις) σοι ἐβοήθησεν. Ἠγνόει, τίς (ὅστις) αὐτῷ βοηθήσειεν (ἐβοήθησεν).
3. Πότερον γέρων γενόμενος πλούσιος ἢ σοφὸς εἶναι προαιρήσῃ;	Ἠρόμην αὐτόν, πότερον γέρων γενόμενος πλούσιος ἢ σοφὸς εἶναι προαιρήσεται (προαιρήσοιτο).
4. Ποῦ στῶ;	Ἠπόρουν, ποῦ στῶ (σταίην).
5. Ἔρωμαι τὸν ἐν Δελφοῖς θεὸν ἢ οὔ(μή);	Ἠρώτησεν, εἰ ἔρηται (ἔροιτο) τὸν θεὸν ἢ οὔ(μή).
6. Ποῦ ἂν ἴδοιμι Πρόξενον;	Ἤρετο, ποῦ (ὅπου) ἂν ἴδοι Πρόξενον.
7. Τίνα ἂν γνώμην περὶ ἐμοῦ εἴχετε, εἰ ἀπῆλθον;	Ἐπυθόμην ὑμῶν, τίνα ἂν γνώμην περὶ ἐμοῦ εἴχετε, εἰ ἀπῆλθον.

B

1. Ἀλήθευσον. — Μὴ ψεύσῃ.	Εἴθε ἀληθεύσαις. — Εἰ γὰρ μὴ ψεύσαιο.
2. Μὴ ψεύσῃ. Φοβοῦμαι.	Φοβοῦμαι, μὴ ψεύσῃ.
3. Μὴ δίκην μοι ἐπιθῇς.	Δέδοικα, μὴ δίκην μοι ἐπιθῇς.
4. Μὴ φοβηθῶμεν τοὺς πολεμίους.	Εἴθε μὴ φοβηθεῖτε τοὺς πολεμίους.
5. Εἴθε ἦσθα δυνατὸς ἐλθεῖν.	(Εἴθε) ὤφελες δυνατὸς εἶναι ἐλθεῖν.

6. Ὁ στρατηγὸς ἐφοβεῖτο, μὴ κυκλωθῇ (κυκλωθείη) ἑκατέρωθεν. 7. Οὐ τοῦτο δέδοικα, μὴ οὐκ ἔχω, ὅ, τι δῶ ἑκάστῳ τῶν φίλων, ἀλλὰ μὴ οὐκ ἔχω ἱκανούς, οἷς δῶ. 8. Σκεπτέον μοι δοκεῖ, ὅπως ὡς ἀσφαλέστατα μενοῦμεν. 9. Τὸν ποιμένα ἐπιμελεῖσθαι δεῖ, ὅπως σῶαι ἔσονται (ὦσιν) αἱ οἷες. 10. Παρασκευάζεσθε, ὅπως μὴ ἔσεσθε (γένησθε) ἄδικοι. 11. Ὁ ποιμὴν κύνας τρέφει, ἵνα τοὺς λύκους ἀπὸ τῶν προβάτων ἀπερύκωσιν. 12. Ἀβροκόμας τὰ πλοῖα κατέκαυσεν, ἵνα μὴ Κῦρος διαβῇ (διαβαίη).

66

A

1. Πολλὴ χιὼν ἔπεσεν, ὥστε ἀπέκρυψε καὶ τὰ ὅπλα καὶ τοὺς ἀνθρώπους.	Πολλὴ χιὼν ἔπεσεν, ὥστε τοὺς στρατιώτας μὴ εὑρεῖν τὴν ὁδόν.

2. Λακεδαιμόνιοι εἰς τοῦτο ἀπληστίας[1] ἦλθον, ὥστ' οὐκ ἤρκεσεν αὐτοῖς ἔχειν τὴν κατὰ γῆν ἀρχήν. 3. Οἱ Αἰγύπτιοι τὰς ἀσπίδας μείζους εἶχον, ἢ ὥστε ποιεῖν τι καὶ δρᾶν. 4. Ὁ ποταμὸς τοσοῦτος ἦν τὸ βάθος, ὡς μηδὲ τὰ δόρατα ὑπερέχειν τοῖς στρατιώταις πειρωμένοις τοῦ βάθους. 5. Οἱ Περσικοὶ νόμοι ἐπιμέλονται, ὅπως ἀρχὴν[2] μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται, οἷοι πονηροῦ τινος ἢ αἰσχροῦ ἐφίεσθαι.

6. ᾿Ελείπετο τῆς νυκτός, ὅσον τοὺς στρατιώτας σκοταίους διελθεῖν τὸ πεδίον. 7. ᾿Αφίεμέν σε, ὦ Σώκρατες, ἐφ' ᾧτε (ὥστε) μηκέτι φιλοσοφεῖν.

[1] ненасытность [2] с самого начала

B 1. Οἱ ῞Ελληνες ἐθαύμαζον, ὅτι οὐδαμοῦ Κῦρος φαίνοιτο (ἐφαίνετο). 2. ᾿Αριαῖος ἐτύγχανεν ἐφ' ἁμάξης πορευόμενος, διότι ἐτέτρωτο. 3. Χαλεπὰ τὰ παρόντα, ὁπότε ἀνδρῶν ἀγαθῶν στερόμεθα. 4. ᾿Επειδὴ Πρόξενος καὶ Μένων εἰσὶν ὑμέτεροι μὲν εὐεργέται, ἡμέτεροι δὲ στρατηγοί, πέμψατε αὐτοὺς δεῦρο.

67

I 1. Εἴ τίς ἐστιν αἴσθησις τοῖς τετελευτηκόσι περὶ τῶν ἐνθάδε γιγνομένων, οὐκ ἀεὶ χαίρουσιν. 2. Εἰ δώσεις (ἐὰν δῷς) μοι ποτόν, χάριν σοι εἴσομαι. 3. Εἰ δείν' ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ. 4. Εἰ μὴ φυλάξεις μίκρ', ἀπολεῖς τὰ μείζονα.



Вопрошение оракула.
Рисунок на аттическом блюде, ок. 435 г.

II a) 1. Φῶς εἰ μὴ εἴχομεν, ὅμοιοι τοῖς τυφλοῖς ἂν ἦμεν. 2. ῞Ηλιος εἰ μὴ ἦν, τῶν ἄλλων ἄστρων ἕνεκα[1] ἐν νυκτὶ ἂν διήγομεν. 3. Λύκος ἰδὼν ποιμένας ἐσθίοντας ἐν σκηνῇ πρόβατον ἐγγὺς προσελθών· „῾Ηλίκος, ἔφη, ἂν ἦν θόρυβος, εἰ ἐγὼ τοῦτο ἐποίουν." b) 1. Οἱ Λακεδαιμόνιοι τοῖς ᾿Ακανθίοις οὐκ ἂν ἐβοήθησαν, εἰ μὴ οὗτοι πρέσβεις ἔπεμψαν περὶ συμμαχίας. 2. Εἰ μὴ ἡ Πυθία ἀνεῖλεν τῷ Κροίσῳ, ὅτι μεγάλην ἀρχὴν καταλύσει, οὐκ ἂν ἡττήθη τοῦ Κύρου. 3. Οὐκ ἂν ῥᾳδίως εἵλομεν τὴν πόλιν, εἰ μὴ τὰ ἐπιτήδεια ἐπέλιπε τοὺς βαρβάρους.

III 1. Εἴ τις ἡμᾶς ἔροιτο, ὅ, τί ἐστιν ἡ φιλοσοφία, τί ἂν αὐτῷ ἀποκριναίμεθα; 2. Εἰ ἀναγκαῖον εἴη ἀδικεῖν ἢ ἀδικεῖσθαι, ἑλοίμην ἂν μᾶλλον ἀδικεῖσθαι. 3. Εἴ τις τὸν τῆς εὐκλείας ἔρωτα ἐκ τοῦ βίου ἐκβάλοι, τί ἂν ἀγαθὸν τοῖς κάμνουσιν ὑπολελειμμένον εἴη;

IV 1. Πάντες οἱ ποταμοί, εἰ καὶ πρόσω τῶν πηγῶν ἄποροί εἰσι, προϊοῦσι πρὸς τὰς πηγὰς διαβατοὶ γίγνονται. 2. Καὶ εἰ οἱ πολέμιοι τὸ ναυτικὸν ἡμῶν νικήσειαν, περιγενοίμεθα ἂν αὐτῶν.

3. Ἀρετὴ δέ, κἂν θάνῃ τις, οὐκ ἀπόλλυται.

4. Θεμιστοκλῆς Σεριφίῳ τινὶ λοιδορουμένῳ καὶ λέγοντι, ὅτι οὐ δι' αὑτόν, ἀλλὰ διὰ τὴν πόλιν εὐδοκιμοῖ, ἀπεκρίνατο, ὅτι οὔτ' ἂν αὐτὸς Σερίφιος ὢν ὀνομαστὸς ἐγένετο, οὔτ' ἐκεῖνος Ἀθηναῖος.

[1] что касается, насколько зависит [2] = ἀποθάνῃ

68

Περὶ Θουκυδίδου

Ἡνίκα τῶν τε Ἀθηναίων καὶ τῶν Λακεδαιμονίων διαφορὰ ἐγένετο, Θουκυδίδης ὁ Ὀλόρου Ἀθηναῖος ἔγνω γράψαι τὸν μέλλοντα πόλεμον. Καὶ ἕως μὲν ἀλλήλοις ἐμάχοντο, ἀκριβέστατα καὶ σπουδαιότατα συνέγραφεν τά τε γεγενημένα ἀμφοτέροις καὶ τὰ τοῖς δοκίμοις ἀνδράσιν εἰρημένα. Ἐπειδὴ δὲ τοῦ πολέμου ἐπαύσαντο, συνέταττε πάντα καὶ συνέγραφεν, ἔστ' ἀπέθανεν. Θουκυδίδης δὲ καὶ αὐτός ποτε στρατηγὸς ὢν ἐπεὶ ἐσφάλη, οὐκ ἀνέμεινεν, ἔστ' ἂν (μέχρι ἄν, ἕως ἄν) ὁ δῆμος τὴν ψῆφον θῆται, ἀλλ' ἔφυγεν. Καὶ οὐ πρότερον ἐπανῆλθεν εἰς τὴν πατρίδα, πρὶν ὅ τε πόλεμος ἐπαύθη καὶ οἱ Ἀθηναῖοι ἔγνωσαν μὴ μνησικακήσειν[1]. — Θουκυδίδης δὲ πρὶν τὰ πεπραγμένα συγγράψαι πολλά τε γράμματ' ἀνεγίγνωσκε καὶ πολλῶν ἀνδρῶν ἐπυνθάνετο, ἃ ἐπεποιήκεσαν. Καὶ οὐκ ἐπαύσατο, πρὶν πάντα ἀκριβέστατα ἔμαθεν.

Οὐ μέντοι πάνυ τετέλεσται τὸ βιβλίον αὐτοῦ, ἀλλ' ὅμως δικαίως θαυμάζεται καὶ θαυμασθήσεται, ἕως ἂν ἄνθρωποι σπουδάζωσι περὶ τὰ Ἑλληνικά. Ὁπότε (ἐπεί, εἰ) γάρ τις ἱστορίαν συγγράφοι, τὸν Θουκυδίδην ἐπειρᾶτο μιμεῖσθαι. Ἔτι καὶ νῦν, ὁπόταν (ὅταν, ἐπειδὰν) λόγος γίγνηται περὶ Περικλέους ἢ τῶν μετ' ἐκεῖνον, Θουκυδίδης μάλιστα εὐδοκιμεῖ καὶ τὸ ἔργον αὐτου. Ἐπειδὰν οὖν φιλοπονήσητε, ὦ μαθηταί, δυνήσεσθέ ποτε ἀναγιγνώσκειν αὐτό.

[1] μνησικακέω помнить зло; *с отрицанием:* прощать

69

Περὶ τινων τῶν θεῶν

Πάντων, ὧν οἱ Ἕλληνες ἐνόμιζον θεῶν, Ζεὺς δυνατώτατος ἦν. Οὗτος ἐπιμελεῖται, ὧν τις ὤμοσεν ὅρκων. Ὃς καὶ τοῖς ξένοις ἐπικουρεῖ. Γάμος δ' οὐδείς ἐστιν, οὗτινος (ὅτου) οὐ φροντίζει Ἥρα, ἡ τοῦ Διὸς γυνή. Ἀπόλλων δέ, ὁ τῆς Λητοῦς,



Греческие боги.
Аттическая амфора, ок. 500 г.

τοξεύει μὲν τοὺς κακούργους, ἰᾶται δὲ πολλάκις, οἳ ἂν νοσοῦντες αὐτῷ εὔξωνται. Ἡ δὲ ἀδελφὴ αὐτοῦ, Ἄρτεμις, παρθένος οὖσα, ἢ θηρᾷ ἢ ταῖς νύμφαις συνοῦσα ὀρχεῖται καὶ λούεται, ἔνθα οὐδεὶς τῶν θνητῶν δύναται ἰδεῖν αὐτήν. Τῆς δὲ σοφίας καὶ τῶν γυναικείων τεχνῶν μέλει τῇ Ἀθηνᾷ καὶ ἔστιν, ὅτε μαχομένοις βοηθεῖ. Οἳ δὲ τῶν τῆς Ἀφροδίτης δώρων καταφρονήσειαν, τούτους πολλάκις ἡ τῆς χάριτος καὶ τοῦ ἔρωτος θεὰ ἐτιμωρήσατο. Ἔτι δὲ, πάντα, ὅσα Ζεὺς ἔγνω, κῆρυξ ὢν Ἑρμῆς τοῖς τε ἀθανάτοις καὶ τοῖς θνητοῖς ἀγγέλλει. Πάντες δ' οἱ θεοὶ οἰκοῦσιν, ὅποι οὐδεὶς θνητὸς ὢν ἀναβήσεται οὔποτε. Ὁ γὰρ Ὄλυμπος, οἷστισιν οἱ θεοὶ μὴ τὴν ἀθανασίαν ἐδωρήσαντο, ἄβατός ἐστιν.

70

1. Μὴ φοβηθῆτε. 2. Μὴ τοῦτο ποιήσῃς. 3. Μήποτε τοῦτο γένοιτο. 4. Μὴ βλάπτε μηδένα μηδέν. 5. Φοβούμεθα, μὴ τὰ ἔσχατα πάθωμεν. 6. Ὁ στρατηγὸς μικροῦ ἐξέφυγε μὴ καταπετρωθῆναι[1]. 7. Ἐγὼ ἀναιδὴς οὔτ' εἰμι, μήτε γενοίμην. 8. Πᾶσιν αἰσχύνη ἦν μὴ οὐ συσπουδάζειν[2] τῷ Κύρῳ. 9. Οἱ ἰατροὶ ἀπαγορεύουσι τοῖς ἀσθενοῦσι μὴ χρῆσθαι ἐλαίῳ. 10. Οἱ στρατιῶται οὐκ ἔφασαν ἰέναι τοῦ πρόσω. 11. Ἆρα καταρνῇ μὴ δεδρακέναι τάδε; 12. Οὐ μὴ εὑρήσω (εὕρω) ποτὲ τοιοῦτον φίλον. 13. Εἷς φρονῶν μυρίων φρονούντων κρείττων ἐστίν. 14. (Ἆρ') οὐ νομίζεις τὴν ψυχὴν ἀθάνατον εἶναι; 15. (Ἆρα) μὴ νομίζεις τὴν ψυχὴν θνητὴν εἶναι; 16. Μῶν τὸν Ἀχιλλέα οἴει φροντίσαι θανάτου καὶ κινδύνου. 17. Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον.

18. Ὡς ἡδὺ τὸ ζῆν μὴ φθονούσης τῆς τύχης.
19. Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου.
20. Τὸ μὴ δίκαιον ἔργον οὐ λήσει θεούς.
21. Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν.

[1] καταπετρόω побиваю камнями [2] помогать кому-л. (τινί), выказывать рвение

71

a) 1. Οὐκ ἂν ῥᾳδίως εἰδείης ἀνδρὸς νοῦν. 2. Τίς οὐκ ἂν ἐπαινέσειε τὸν καλὸν κἀγαθόν. 3. Ἐγὼ ὀκνοίην ἂν εἰς τὰ πλοῖα ἐμβαίνειν, ἃ Κῦρος ἡμῖν δοίη. 4. Εὖ ἴστε, ὅτι τὴν ἐλευθερίαν ἑλοίμην ἂν ἀντὶ ὧν ἔχω πάντων.

b) 5. Εἰ ἐβοηθήσαμεν τοῖς συμμάχοις, πολὺ ἂν εὐμενεστέροις νῦν ἐχρώμεθα αὐτοῖς 6. Εἰ οἱ ἄλλοι ἤθελον τοιοῦτοι εἶναι, οἷος Σοφοκλῆς, ὀρθὴ ἂν ἡμῶν ἡ πόλις ἦν καὶ οὐκ ἂν ἔπεσε τοιοῦτον πτῶμα. 7. Οἴοιτό τις ἂν τὸν ἥλιον κύκλῳ περιιέναι περὶ τὴν γῆν. 8. Ὤιετό τις ἂν τοὺς Ἀθηναίους νικῆσαι. 9. Ἐν νυκτομαχίᾳ[1] πῶς ἄν τις σαφῶς τι ᾔδει;

[1] ночное сражение

c) 10. Ἐπὰν εἰς Βαβυλῶνα ἥκητε, δώσω ἑκάστῳ πέντε ἀργυρίου μνᾶς. 11. Ὦ ἄνδρες, ἄν μοι πεισθῆτε, τῶν ἄλλων προτιμήσεσθε[1] στρατιωτῶν ὑπὸ Κύρου. 12. Κλέαρχος εἶπε τοῖς φύλαξι κελεύειν τοὺς κήρυκας περιμένειν, μέχρι ἂν σχολάσῃ.

[1] *fut.med. в пассивном значении*

d) 13. Κῦρος εἰ ἐβίω, ἄριστος ἂν δοκεῖ ἄρχων γενέσθαι. 14. Κῦρος εἰ μὴ ἀπέθανεν, ἄριστος ἂν ἄρχων γενόμενος φανερός (δῆλός) ἐστιν. 15. Ἔνιοί φασιν οὐδέ, εἰ μεμνῇό τε καὶ βούλοιο, δύνασθαί σε ἂν ἀποδοῦναι, ὅσα ὑπισχνῇ. 16. Δικαίως ἄν τις φαίη, εἰ μὴ Πάρις ἥρπασεν Ἑλένην, τὸν πόλεμον οὐκ ἂν γενέσθαι. 17. Ταῦτα ποιοῦσιν ὡς οὐκ ἂν ἄλλως ἀξιόλογοι γενόμενοι. 18. Φανερός ἐστιν οὐκ ἂν ἐλθών, εἰ μὴ ἠναγκάσθη.



Парис похищает Елену.
Аттический скифос, ок. 490 г.

72

Περὶ τῆς ἐν Θερμοπύλαις μάχης

Οὐδεμία ἂν μάχη οὕτω γνώριμος εἴη ὡς ἡ ἐν Θερμοπύλαις γεγενημένη. Ὡς γὰρ ἀφίκετο Ξέρξης εἰς τὴν Ἑλλάδα, τοῖς συμμάχοις ἔδοξεν ἀντιτάξειν αὐτῷ τὸ μὲν ναυτικὸν παρ' Ἀρτεμισίῳ τῷ ἀκρωτηρίῳ, τὸ δὲ στράτευμα ἐν ταῖς Θερμοπύλαις. Βασιλεὺς μὲν οὖν πορευόμενος διὰ τῆς Θετταλίας διήρπαζε τὴν χώραν ὡς πολεμίαν οὖσαν, Λεωνίδας δ', ὁ τῶν Λακεδαιμονίων βασιλεύς, ἔχων ὁπλίτας ὡς ἑπτακισχιλίους ἀνέμενε τοὺς βαρβάρους ὡς δεξόμενος αὐτούς. Καὶ πρῶτον μὲν οἱ Ἕλληνες οὐκ ἠθύμουν ὡς εὖ ἐχόντων ἁπάντων. Ἐπεὶ δ' ἠγγέλθη, ὡς ὁ στόλος ὁ ἐν Ἀρτεμισίῳ τὰς τῶν Περσῶν ναῦς οὐ νικήσειεν, ἀπεπέμφθη τὸ πολὺ τοῦ πεζικοῦ ὡς ἐν τῷ παραυτίκα οὐχ ἱκανὸν ὂν τρέψασθαι τοὺς πολεμίους. Τριακόσιοι οὖν μόνον Σπαρτιᾶται κατελείφνησαν ἐν ταῖς Πύλαις[1] πρόθυμοι ὄντες, καὶ κεκοσμημένοι ὡς εἰς ἑορτήν, καὶ ἑπτακόσιοι Θεσπιῆς ἑκόντες παρέστησαν αὐτοῖς ὡς συμμαχήσοντες. Καὶ δύο μὲν ἡμέρας ἠμύνοντο τὸ βαρβαρικὸν μεγάλα βλάπτοντες, τῇ δὲ τρίτῃ Ἐφιάλτης τις, ἀνὴρ Μηλιεύς, ἦλθεν ὡς βασιλέα ὑπισχνούμενος ὡς τάχιστα ἡγήσεσθαι τοῖς Πέρσαις εἰς τὰ νῶτα τῶν Ἑλλήνων. Οἱ οὖν βάρβαροι ὄπισθεν ἐγένοντο τῶν Λεωνίδα[2] στρατιωτῶν, ὥσθ' οὗτοι ἑκατέρωσε ἀνδρειότατα μαχόμενοι ὑπὸ πλειόνων πολεμίων ἐπιέζοντο ἢ ὡς περιγενέσθαι αὐτῶν, καὶ πάντες ἀπέθανον. Ἐφιάλτης δὲ ὡς προδότης κατεφρονήθη τε καὶ καταφρονεῖται.

[1] = Θερμοπύλαις [2] *-α вместо -ου в gen. дорийских имен собственных на -ας*

73

Περὶ Ἀριστοφάνους „Ὀρνίθων“

Ἡ τῶν Ἀθηναίων κωμῳδία τῆς αὐτῆς δόξης ἀξία ἐστὶ καὶ ἡ τραγῳδία. Τῶν τῆς κωμῳδίας ποιητῶν εἴ τις καὶ ἄλλος δεῖ ὀνομάζεσθαι ὁ Ἀριστοφάνης. Πολλὰς συνέγραψε κωμῳδίας καὶ δὴ τοὺς Ὄρνιθας·

Δύο πολῖται Ἀθηναῖοι, Πειθέταιρος καὶ Εὐελπίδης, ἐβούλοντο φυγεῖν τὴν ἐν Ἀθήναις πολυπραγμοσύνην[1]. Εὐθὺς δ' ἀφίκοντο πρὸς τοὺς ὄρνιθας καὶ συνεβούλευσαν αὐτοῖς κτίζειν ὀρνίθων πόλιν καὶ (ταῦτα) μεταξὺ γῆς καὶ οὐρανοῦ. Καὶ ὄνομα δ' ἔθεσαν αὐτῇ Νεφελοκοκκυγίαν[2]. Ἤδη δ' ἦν τρίτη ἢ τετάρτη ἡμέρα καὶ ἧκεν Ἶρις, ἡ τῶν θεῶν ἄγγελος. Καὶ γάρ, εἰ οἱ ἄνθρωποι τοῖς θεοῖς θύσειαν, ὁ τῶν θυσιῶν καπνὸς οὐκ ἀφικνεῖτο εἰς οὐρανόν, ὥστε πεινῆν τοὺς ἀθανάτους. Καίτοι ἡ Ἶρις ᾔτησε τοὺς ὄρνιθας διεῖναι τὸν κάπνον. Πειθέταιρος καὶ Εὐελπίδης καίπερ (καὶ) οὐκ ἀγνοοῦντες τοὺς θεοὺς ἐπιεικῆ αἰτεῖν οὐκ ἔφασαν διεῖναι τὸν καπνόν, εἰ μὴ δίδοται εἰς γάμον τῷ Πειθεταίρῳ ἡ Βασιλεία. Ἐγένετο οὖν τοῦτο καὶ οἱ θεοὶ ταῖς θυσίαις ἐτέρποντο ὥσπερ καὶ τὸ πρίν.

[1] хлопотливость, суета [2] ὁ κόκκυξ, γος кукушка; *как составлено это имя?*

74

Πῶς ὁ Ξενοφῶν ἐν Σκιλλοῦντι διῆγεν

(По: Ксенофонт. Анабасис, V, 3, 5 сл.)

Из захваченной добычи Ксенофонт получил десятую часть для Аполлона и Артемиды. *Далее он рассказывает, как употребил ее:*

Ξενοφῶν τὸ μὲν τοῦ Ἀπόλλωνος ἀνάθημα ποιησάμενος ἀνατίθησιν εἰς τὸν ἐν Δελφοῖς τῶν Ἀθηναίων θησαυρὸν[1] καὶ ἐπέγραψε τὸ αὐτοῦ ὄνομα. Τὸ δὲ τῆς Ἀρτέμιδος τῆς Ἐφεσίας, ὅτ' ἀπῄει σὺν Ἀγησιλάῳ ἐκ τῆς Ἀσίας τὴν εἰς Βοιωτοὺς ὁδόν, καταλείπει παρὰ Μεγαβύζῳ τῷ τῆς Ἀρτέμιδος νεωκόρῳ[2], ὅτι αὐτὸς κινδυνεύσων ἐδόκει ἰέναι, καὶ ἐπέστειλεν, ἢν μὲν αὐτὸς σωθῇ, αὐτῷ ἀποδοῦναι· ἢν δέ τι πάθῃ, ἀναθεῖναι ποιησάμενον τῇ Ἀρτέμιδι, ὅτι οἴοιτο χαριεῖσθαι τῇ θεῷ. Ἐπειδὴ δ' ἔφευγεν ὁ Ξενοφῶν, κατοικοῦντος ἤδη αὐτοῦ ἐν Σκιλλοῦντι[3] ὑπὸ τῶν Λακεδαιμονίων οἰκισθέντος[4] ἀφικνεῖται Μεγάβυζος εἰς Ὀλυμπίαν θεωρήσων καὶ ἀποδίδωσι τὴν παρακαταθήκην[5] αὐτῷ. Ξενοφῶν δὲ λαβὼν χωρίον ὠνεῖται τῇ θεῷ, ὅπου ἀνεῖλεν ὁ θεός. Ἐν δὲ τούτῳ τῷ χωρίῳ καὶ θῆραί εἰσι πάντων, ὁπόσα ἐστὶν ἀγρευόμενα[6] θηρία. Ἐποίησε δὲ καὶ βωμὸν καὶ ναὸν ἀπὸ τοῦ ἱεροῦ ἀργυρίου, καὶ τὸ λοιπὸν δὲ ἀεὶ δεκατεύων[7] τὰ ἐκ τοῦ ἀγροῦ ὡραῖα θυσίαν ἐποίει τῇ θεῷ, καὶ πάντες οἱ πολῖται καὶ οἱ πρόσχωροι[8], ἄνδρες καὶ γυναῖκες, μετεῖχον τῆς ἑορτῆς. Περὶ δὲ αὐτὸν τὸν ναὸν ἄλσος ἡμέρων δένδρων ἐφυτεύθη, ὅσα ἐστὶ τρωκτὰ[9] ὡραῖα. Ὁ δὲ ναός, ὡς μικρὸς μεγάλῳ, τῷ ἐν Ἐφέσῳ ᾔκασται, καὶ τὸ ξόανον ἔοικεν, ὡς κυπαρίττινον[10] χρυσῷ ὄντι, τῷ ἐν Ἐφέσῳ. Καὶ στήλη ἕστηκε παρὰ τὸν ναὸν γράμματα ἔχουσα·

> ΙΕΡΟΣ Ο ΧΩΡΟΣ ΤΗΣ ΑΡΤΕΜΙΔΟΣ. ΤΟΝ ΕΧΟΝΤΑ ΚΑΙ ΚΑΡΠΟΥΜΕΝΟΝ ΤΗΝ ΜΕΝ ΔΕΚΑΤΗΝ ΚΑΤΑΘΥΕΙΝ[11] ΕΚΑΣΤΟΥ ΕΤΟΥΣ. ΕΚ ΔΕ ΤΟΥ ΠΕΡΙΤΤΟΥ ΤΟΝ ΝΑΟΝ ΕΠΙΣΚΕΥΑΖΕΙΝ[12]. ΑΝ ΔΕ ΤΙΣ ΜΗ ΠΟΙΗΙ ΤΑΥΤΑ ΤΗΙ ΘΕΩΙ ΜΕΛΗΣΕΙ.

[1] *зд.:* сокровищница [2] νεωκόρος смотритель храма, жрец [3] Σκιλλοῦς, -οῦντος, *город в Элиде* [4] οἰκίζω поселять [5] отданные на хранение деньги *(буквально?)* [6] на каких можно охотиться [7] посвящать богу десятину [8] соседи *(буквально?)* [9] плоды, которые можно есть сырыми; ср. ὡραῖα десерт: яблоки, миндаль и проч. [10] κυπαρίττινος из кипарисового (ἡ κυπάριττος) дерева [11] *подразумевается* δεῖ [12] чинить, содержать в исправности, обустраивать

*ПРИЛОЖЕНИЕ

После 10-го урока

A Περὶ ᾿Αντιγόνης

Μετὰ τὸν θάνατον τὸν τῶν ἀδελφῶν ᾿Αντιγόνη ἐβούλετο θάπτειν αὐτούς. ᾿Αλλὰ Κρέων, ὁ τῶν Θηβῶν τύραννος[1], ἀπαγορεύει μὲν τοῖς πολίταις μὴ τάφον παρασκευάζειν τῷ ἑτέρῳ, τὸν δὲ ἕτερον θάπτει καὶ πολλὰς τιμὰς ἔχει αὐτῷ. ᾿Αντιγόνη δὲ τὸν ἀτιμαζόμενον νεκρὸν αὐτὴ[2] ἔθαπτεν, ἁλίσκεται δὲ ὑπὸ τῶν τοῦ τυράννου σκοπῶν[3]. Ἄγεται οὖν πρὸς τὸν τύραννον, καὶ οὗτος πυνθάνεται αὐτῆς, διὰ τί τὸν νεκρὸν ἔθαπτεν. Ἡ δὲ ἀποκρίνεται, ὅτι· „ὁ νεκρὸς ἀδελφός ἐστι, καὶ δεῖ στέργειν τοὺς ἐπιτηδείους.“ Ὅμως δὲ ἡ παρθένος συλλαμβάνεται[4] καὶ ἄγεται πρὸς θάνατον. Ἔμψυχος γὰρ ἐν τάφῳ ἐγκλείεται. Ὡς δ' Αἵμων, ὁ τοῦ τυράννου υἱός, ἀκούει ᾿Αντιγόνην ἄγεσθαι πρὸς θάνατον, προσέρχεται καί, ἐπεὶ οὐ δυνατός ἐστι σῴζειν αὐτήν, ἀποθνῄσκει μετ' αὐτῆς. Τειρεσίας δὲ συμβουλεύει τῷ τυράννῳ τὴν παρθένον ἀνακομίζεσθαι[5], ἀλλὰ ὀψὲ[6] Κρέων μανθάνει τὴν ἰδίαν ἀδικίαν. Ὥστε ὑπὸ τῶν θεῶν καὶ τῶν ἀνθρώπων ἠτιμάζετο.

[1] правитель [2] *эд.:* лично сама [3] стражник [4] хватаю [5] ἀνακομίζω возвращаю [6] поздно



Геракл приносит царю Еврисфею эриманфского вепря. Роспись на аттическом блюде, ок. 490 г.

B Два подвига Геракла

'Εν τῷ 'Ερυμάνθῳ ὄρει τραχεῖ ὄντι μέγιστός ποτε κάπρος ἱερὸς τῆς 'Αρτέμιδος διέφθειρε πᾶσαν τὴν χώραν. 'Ηρακλῆς οὖν πειθόμενος τοῖς Εὐρυσθέως, τοῦ τῆς Μυκήνης βασιλέως, λόγοις ἐθήρευσε τὸν κάπρον πολλὰς μὲν νύκτας, πολλὰς δὲ ἡμέρας. Τέλος δέ, ἰσχυρότατος ὢν ἀνήρ, περιγενόμενος τοῦ θηρίου ἐν βαθείᾳ χιόνι ἐκόμισεν αὐτὸ εἰς Μυκήνην. 'Ο δὲ τοῦ ἄστεως δεσπότης πρὸ τῆς οἰκίας καθεζόμενος βλέψας 'Ηρακλέα μάλιστα ἐκπλήττεται καί, οὐχ οἷός τε ὢν τὴν θέαν φέρειν, ἀποφεύγει. —

